

Isócrates
Περὶ εἰρήνης
Sobre la paz
Traducción de
Juan Manuel Guzmán Hermida

SOBRE LA PAZ (VIII)
Περὶ εἰρήνης

INTRODUCCIÓN

El año 357 a. C., Quíos, Rodas, Cos y Bizancio abandonan la segunda liga marítima, fundada veinte años antes. Estalla entonces la guerra de los confederados que durará hasta el 355 a. C. El discurso *Sobre la paz* se ha pronunciado entre esos años, probablemente en 356 a. C., porque los datos que nos dan sus parágrafos 19 y 20 nos hacen pensar que la guerra dura ya algún tiempo.

Según P. Cloché[1], el tema dominante del discurso es criticar el imperialismo marítimo, ambición común de atenienses y espartanos, y reclamar el cese inmediato de las hostilidades.

W. Jaeger[2], que sitúa el discurso *Areopagítico* antes que el *Sobre la paz*, considera que Isócrates estaba ya desengañado del renacimiento de Atenas, precisamente cuando las ideas expuestas en el *Areopagítico* habían comenzado a arraigar en la juventud de su ciudad. Para Jaeger el *Sobre la paz* representa la abolición de todos los planes de Isócrates, que aconseja abandonar toda pretensión de imperio y lograr la paz con todo el mundo.

Dentro de este panorama de política exterior, Isócrates aprovecha para hacer algunas consideraciones sobre la política interna de la ciudad. Mathieu[3] ha hecho notar que éste es el primero de los discursos políticos en que Isócrates se dirige directamente a los atenienses, ya que el *Panegírico* iba dirigido a todos los griegos y el *Panatenaico* lo pronunciaba otro. Sin embargo, es evidente que Isócrates habla en nombre de una minoría conservadora partidaria de la paz, uno de cuyos líderes era Eubulo, un experto financiero.

Tenemos testimonios[4] de que la situación financiera de Atenas era catastrófica por estos años; precisamente Eubulo, con Calístrato y Licurgo introdujeron el orden en estas finanzas. Una guerra costosa en estas circunstancias era, desde luego, una enorme dificultad.

El esquema del discurso es el siguiente:

1-15.Exordio. Dificultad de decir la verdad a los atenienses.
16-25. Es forzoso firmar la paz que traerá ventajas materiales y éticas.
26-60. Los estados, como los individuos, han de tener su propia moral; la política interior y exterior de Atenas ha sido peligrosa.
61-116. Crítica de la política imperialista; la causa es la corrompida educación del pueblo y sus dirigentes. El comienzo del imperio marítimo fue también el comienzo de todos los males. Crítica también de la política agresiva de Esparta.
117-131. Pequeños pueblos, como los tesalios y megarenses han logrado grandes éxitos; pero la soberbia del poder y los demagogos que sólo piensan en su interés personal, han llevado a Atenas a la ruina.
132-145. Propuestas de reformas; posible hegemonía de Atenas como honor concedido por los demás estados, no impuesta. Invitación a otros oradores para que ayuden al autor en su tarea.

---

[1] *Isocrate…*, págs. 76-77.
[2] *Paideia…*, pág. 916.
[3] *Isocrate…*, III, pág. 3.
[4] En DEMÓST., *Sobre la Corona* 234, y JENOF., *Sobre los ingresos públicos*.

Mathieu señala[5] que los parágrafos 132-134 del *Sobre la paz*, introducidos en el discurso *Sobre el cambio de fortunas*, presentan un texto bastante diferente al que aquí tenemos. Las razones de este cambio vendrían dadas por la situación política que aconsejarían la corrección de las ideas vertidas en este pasaje.

ARGUMENTO DE UN ESCRITOR DESCONOCIDO

Cares fue enviado a someter Anfípolis, que en aquella época era autónoma y dirigía sus propios asuntos, porque los lacedemonios estaban en mala situación después de la batalla de Leuctra, y los atenienses debilitados. Cares pensaba que conquistaría Anfípolis sin trabajo y, como ansiaba devolver a los atenienses su antiguo poder, atacó a los quiotas, a los rodios y a los restantes aliados. Éstos resistieron y Cares sufrió tal derrota que no sabía qué hacer. Porque si se retiraba y marchaba contra Anfípolis, los aliados en venganza atacarían el Ática. Conocedores de esto, los atenienses solicitaron treguas que establecieron de inmediato los quiotas y los rodios junto con los demás. Ésta fue la llamada guerra con los aliados.

En estas circunstancias se reunió la Asamblea Popular para tratar de poner fin a la guerra. Isócrates se levantó para aconsejar[6] que no había que inmiscuirse en cosas ajenas, sino mantenerse tranquilos. Y dividió el discurso en dos partes: en la primera decía que se permitiera a los quiotas y a los demás ser autónomos, y en la segunda que se abandonara la hegemonía marítima. Se dice que a esta última parte Arístides opuso su discurso Refutación de la paz. Éste es el argumento. El fundamento del discurso es la utilidad y es una obra práctica porque es un consejo sobre la paz.

Si alguna vez te vieras obligado a pronunciar un exordio general, emplea en él una afirmación particular, como la que aparece en el *Sobre la paz* de Isócrates, cuando dice: «Venimos a hablar de cosas importantes: de la guerra y de la paz». Lo más hermoso en estos discursos es el método, que metódicamente hagamos hincapié en unas mismas cosas, por más tradicional que sea el tema.



---

[5] *Isocrate*…, III, pág. 6.

[6] El discurso, como todos los de la etapa política de Isócrates, jamás se pronunció en público. El anónimo autor del argumento cree que realmente se dijo ante la asamblea popular.

SOBRE LA PAZ (VIII)
Περὶ εἰρήνης

1-15.Exordio. Dificultad de decir la verdad a los atenienses.

[1] ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύσειν: οὐ μὴν ἀλλ᾽ εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν νῦν παρόντων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν.

1 Todos los que llegan aquí tienen por costumbre afirmar que van a aconsejar sobre los asuntos más importantes y más dignos de cuidado para la ciudad. Aunque tal advertencia fue adecuada también a algunos otros asuntos, me parece que conviene empezar así a tratar sobre la situación actual[7].

[2] ἥκομεν γὰρ ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος, ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν.

2 Porque venimos a deliberar en asamblea sobre la guerra y la paz, asuntos que tienen la mayor influencia en la vida humana. Quienes deliberan correctamente sobre ellos es forzoso que actúen mejor que los demás. Tal es la importancia del asunto por el que nos hemos reunido.

[3] ὁρῶ δ᾽ ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν δ᾽ οὐδὲ τὴν φωνὴν ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε: καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε πάντας τοὺς ἄλλους ἐκβάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις.

3 Veo que vosotros no concedéis idéntica audiencia a todos los oradores, sino que a unos les prestáis atención, y de otros, en cambio, ni soportáis la voz[8]. Y no hacéis nada sorprendente. Pues ya antes solíais expulsar a todos menos a quienes hablaban de acuerdo con vuestros deseos.

[4] ὃ καὶ δικαίως ἄν τις ὑμῖν ἐπιτιμήσειεν, ὅτι συνειδότες. πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις αὐτοὶ φαίνεσθε μᾶλλον τούτοις πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις.

4 Cualquiera os censuraría con razón esta actitud, porque, a pesar de saber que muchas y grandes casas han quedado destruidas por los aduladores y aunque odiáis a quienes emplean este sistema en los asuntos privados, no pensáis lo mismo sobre ellos cuando se trata de asuntos públicos[9]. Por el contrario, mientras acusáis a quienes aceptan y lo pasan bien con gentes así, mostráis que vuestra confianza es mayor en ellos que en otros ciudadanos.

[7] Lugar común, empleado también por DEMÓST., en *Contra Timócrates* 4.

[8] Lo mismo en *Sobre el cambio de fortunas* 22.

[9] Moral privada y moral pública no deben contradecirse entre sí. Por eso Isócrates afirma ahora la validez de la moral privada incluso para las relaciones entre los estados (JAEGER, *Paideia…*, pág. 919).

[5] καὶ γάρ τοι πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ᾽ ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν. ἐφ᾽ οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν ἐρρύηκεν. πᾶσι γὰρ ἦν φανερὸν ὅτι μᾶλλον ἡσθήσεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν.

5 Habéis hecho que los oradores pongan su cuidado y pensamiento no en tratar lo conveniente para la ciudad, sino en cómo pronunciarán discursos que os agraden. A ese tipo de discursos se precipita[10] ahora la mayoría de los oradores. Pues está claro para todos que disfrutaríais más con quienes os exhortan a la guerra que con los que os aconsejan la paz.

[6] οἱ μὲν γὰρ προσδοκίαν ἐμποιοῦσιν ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα, καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν ἔχοντες: οἱ δ᾽ οὐδὲν τοιοῦτον ὑποτείνουσιν, ἀλλ᾽ ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν, ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν.

6 Los primeros producen la expectación al decir que recuperaremos las propiedades en las ciudades[11] y recobraremos de nuevo el poder que antes tuvimos. Los segundos no prometen nada parecido. Dicen que hay que mantenerse en paz y no intentar grandes empresas contra justicia, sino contentarse con lo presente. Esto es precisamente lo más difícil de todo para la mayoría de los hombres.

[7] οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστ᾽ οὐδ᾽ οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ᾽ ἀεὶ τοῦ πλέονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. ὅπερ ἄξιόν ἐστι δεδιέναι, μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις:

7 Pues tan atados estamos a las esperanzas y somos tan insaciables de lo que nos parece ventajoso, que ni los que han adquirido la mayor riqueza quieren conformarse con ella, sino que, por desear más, corren peligro en lo que poseen. Esto es lo que hay que temer, que también ahora nosotros resultemos reos de estas locuras.

[8] λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων, ἀλλὰ τῶν θεῶν ἀκηκοότες ὅτι κατορθώσομεν ἅπαντα καὶ ῥᾳδίως ἐπικρατήσομεν τῶν ἐχθρῶν.

8 Me parece, en efecto, que algunos se sienten muy inclinados a la guerra, como si no fueran sus consejeros unos cualquiera sino que hubieran oído a los dioses que prosperaremos en todo y venceremos con facilidad a los enemigos.

χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ βουλεύεσθαι (περίεργον γάρ) ἀλλὰ πράττειν ὡς ἐγνώκασι, περὶ ὧν δ᾽ ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ᾽ ὡς δόξῃ μὲν χρωμένους, ὅ τι ἂν τύχῃ δὲ γενησόμενον ἀγνοοῦντας, οὕτω διανοεῖσθαι περὶ αὐτῶν.

Es necesario que las gentes con sentido no deliberen sobre lo que saben —cosa superflua— sino que actúen de acuerdo con lo que han resuelto, y si deliberan sobre algo, que no crean saber lo que ocurrirá, sino que piensen que manejan una opinión, pero las cosas sucederán de acuerdo con el azar.

[10] MATHIEU, *Isocrate…*, III, pág. 12, n. 1, compara el verbo aquí utilizado (*erryeken*) con la imagen del torrente usada por PLAT., en *Rep*. 485 D.

[11] Una de las cláusulas de la segunda liga marítima era que Atenas no utilizaría su hegemonía para instalar ciudadanos en otros estados griegos (cleruquías). A pesar de ello, Atenas los había establecido en el Quersoneso, Potidea y Samos (DIODORO, XV 81, 5).

[9] ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ᾽ ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. συνεληλύθατε μὲν γὰρ ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον, ὥσπερ δ᾽ ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστίν, οὐκ ἐθέλετ᾽ ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων.

9 Vosotros no hacéis ninguna de estas dos cosas, y, en cambio, os encontráis en la mayor confusión posible. Os habéis reunido, en efecto, con la idea de que tenéis que elegir la mejor propuesta de todas las que se digan, pero, como si ya supierais bien lo que hay que hacer, no queréis oír sino a quienes hablan ante la asamblea buscando vuestro agrado[12].

[10] καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν ἢ τοῖς καταχαριζομένοις, εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες ῥᾳδίως ἐξαπατᾶν δύνανται （τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν ὑμᾶς τὸ βέλτιστον）, ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθοιτε τοιοῦτον:

10 Convendría que vosotros si queréis buscar lo ventajoso para la ciudad, prestarais mayor atención a los que se oponen a vuestra manera de pensar que a los que os dan la razón por agradaros, y que supierais que de los oradores que aquí vienen, los que hablan de acuerdo con vuestros deseos, pueden engañaros con facilidad —porque lo que se dice para daros gusto os oscurece la visión de lo que es mejor— y en cambio, no os ocurrirá lo mismo con los que no os aconsejan cosas de vuestro agrado.

[11] οὐ γὰρ ἔστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ὑμᾶς, μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες. χωρὶς δὲ τούτων πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ τῶν γεγενημένων ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ᾽ ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δ᾽ αὑτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς παράσχοιεν;

11 Porque no podrían cambiar vuestra manera de pensar si no demostraran con claridad la utilidad de sus consejos. Aparte de esto, ¿cómo podrían las personas juzgar bien sobre lo pasado o deliberar sobre el porvenir si no examinasen los discursos de los adversarios y ellos mismos no estuvieran dispuestos a oír con imparcialidad a las dos partes?

[12] θαυμάζω δὲ τῶν τε πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον αἱρουμένους πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ᾽ ἑτοίμως ἔχομεν, μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι καὶ βοηθεῖν καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες.

12 Me causa asombro el que los viejos no recuerden ni los jóvenes hayan oído que nunca sufrimos mal alguno a causa de los que nos aconsejaron mantener la paz, mientras que hemos caído ya en muchas y enormes desgracias por culpa de quienes eligieron fácilmente la guerra. De esto nosotros no nos acordamos, sino que estamos dispuestos, con perjuicio de nuestro futuro, a equipar trirremes, a imponer tributos monetarios, a ayudar y a hacer la guerra a cualquiera, como si corriéramos peligro en una ciudad extraña.

[12] Es éste un lugar común en la oratoria judicial.

[13] τούτων δ᾽ αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ ὑπὲρ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ᾽ ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν, ὅταν δ᾽ ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων ἀσκεῖτε, καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων. ὥστ᾽ ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν.

13 La causa de estas cosas es que vosotros debíais aplicaros por igual a los asuntos públicos y a los privados, pero no tenéis sobre ellos la misma manera de pensar. Por el contrario, cuando tomáis una resolución sobre vuestros asuntos particulares, buscáis como consejeros a quienes son más inteligentes que vosotros mismos, pero cuando os reunís en asamblea en favor de la ciudad, desconfiáis de tales consejeros y los aborrecéis. Rodeáis de elogios, en cambio, a los peores de cuantos suben a la tribuna y pensáis que son más útiles al pueblo los embriagados que los sobrios, los necios que los inteligentes, los que se reparten los fondos estatales que quienes sostienen un servicio público con sus fortunas particulares[13]. Por eso hay que sorprenderse si alguno espera que la ciudad mejore utilizando tales consejeros.

[14] ἐγὼ δ᾽ οἶδα μὲν ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παρρησία, πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις: ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε χάριν ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους.

14 Yo sé que es difícil oponerse a vuestro pensamiento, y que, aunque estemos en una democracia, no existe libertad de expresión salvo aquí, para los insensatos que no piensan en vosotros y, en el teatro, para los autores de comedias[14]. Lo peor de todo es que a quienes sacan a la luz ante los demás griegos los errores de la ciudad les tengáis un agradecimiento que no demostráis a quienes obran bien[15], y que tratéis tan mal a los que os reprenden y advierten como a quienes hacen algún daño a la ciudad.

[15] ὅμως δὲ καὶ τούτων ὑπαρχόντων οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ᾽ ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων πρῶτον μὲν περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν, ἔπειτα περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων: οὐδὲν γὰρ ὄφελος ἔσται τῶν νῦν

15 A pesar de que las cosas están así, no renunciaré a mi proyecto. He venido no para agradaros ni para pretender vuestro voto, sino para declarar lo que sé, en primer lugar, sobre lo que los prítanes proponen, y después, sobre otros asuntos de la ciudad. Porque no resultará ninguna utilidad de lo que ahora resolvamos

[13] Isócrates defiende a la minoría conservadora, a la que él pertenece, de los ataques que se le hacen, acusándola de antidemocrática. Esta minoría, con su dinero empleado en los servicios públicos, es la que más ha contribuido a la conservación del estado (JAEGER, *Paideia*…, pág. 903).

[14] La crítica de la libertad de lenguaje en los autores cómicos, va siempre referida a la comedia del s. V, no a la del IV (MATHIEU, *Les idees*…, pág. 29).

[15] Recuérdese que éste fue el argumento empleado por Cleón para denunciar a Aristófanes tras la representación de *Los Babilonios.*

περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα.

sobre la paz, si no deliberamos correctamente también sobre el resto de los asuntos.

16-25. Es forzoso firmar la paz que traerá ventajas materiales y éticas.

[16] φημὶ δ᾽ οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους καὶ Ῥοδίους καὶ Βυζαντίους καὶ Κῴους ἀλλὰ πρὸς ἅπαντας ἀνθρώπους, καὶ χρῆσθαι ταῖς συνθήκαις μὴ ταύταις αἷς νῦν τινὲς γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

16 Sostengo que es preciso hacer la paz no sólo con los quiotas, rodios y bizantinos, sino con todos los hombres y que utilicemos no los tratados que ahora algunos han suscrito, sino aquéllos que se firmaron con el rey y los lacedemonios, donde se fija que los griegos sean autónomos, que las guarniciones salgan de las ciudades ajenas y que cada uno tenga su propio territorio[16]. No hallaremos tratados más justos que éstos ni más útiles para la ciudad.

[17] ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ᾽ ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς καὶ Πλαταιὰς καὶ τὰς ἄλλας πόλεις ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δ᾽ ἔξιμεν μηδεμιᾶς ἀνάγκης οὔσης ἐξ ὧν τυγχάνομεν ἔχοντες: ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων, καὶ τῶν τὰς ἀλλοτρίας πόλεις βίᾳ κατεχόντων, καὶ μὴ λογιζομένων τὰς συμφορὰς τὰς ἐκ τῶν τοιούτων ἔργων γιγνομένας.

17 Si terminara aquí mi discurso, sé que daría la impresión de perjudicar a la ciudad, si nosotros abandonamos sin necesidad las ciudades que tenemos y los tebanos, en cambio, van a quedarse con Tespis, Platea y las demás ciudades que ocuparon en contra de los juramentos[17]. Pero si, prestándome atención, me escucháis hasta el final, creo que todos comprenderéis la enorme insensatez y locura de quienes piensan que la injusticia es una ventaja, de los que retienen por la fuerza ciudades ajenas y de los que no cuentan con las desgracias que se derivan de tal situación.

[18] ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειρασόμεθα διδάσκειν ὑμᾶς, περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν, καὶ σκεψώμεθα τί ἂν ἐν τῷ παρόντι γενέσθαι βουληθεῖμεν ἡμῖν. ἢν γὰρ ταῦτα καλῶς ὁρισώμεθα καὶ νοῦν ἐχόντως, πρὸς ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες ἄμεινον βουλευσόμεθα καὶ περὶ τῶν ἄλλων.

18 Esto es lo que intentaremos enseñaros a través de todo el discurso. En primer lugar, vamos a hablar sobre la paz y a examinar qué cosa querríamos que nos ocurriese en la actualidad. Porque si esto lo delimitamos bien y con inteligencia, desde esta base reflexionaremos mejor sobre los demás asuntos[18].

[19] ἆρ᾽ οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν ἀσφαλῶς οἰκοῖμεν καὶ τὰ περὶ τὸν βίον εὐπορώτεροι γιγνοίμεθα καὶ τά τε πρὸς ἡμᾶς

19 ¿Sería suficiente para nosotros vivir con seguridad en la ciudad, tener abundancia de medios, el mismo parecer entre nosotros

---

[16] Isócrates aconseja retornar a la paz de Antálcidas (año 387 a. C.) como base para la política exterior, lo que equivalía a renunciar a la hegemonía marítima ateniense; este programa presenta una gran afinidad con el escrito de JENOFONTE, *Sobre los ingresos públicos*, de la misma época (JAEGER, *Paideia*…, pág. 917).

[17] MATHIEU, *Isocrate*…, III, pág. 16, n. 1, precisa que la ocupación de Tespis y Platea efectuada por los tebanos, no violaba la paz de Antálcidas, sino la llamada «paz del rey», suscrita el año 374 a. C.

[18] Igual que Platón, Isócrates parte de lo generalmente reconocido; a este sistema de determinar un principio supremo le llama «hipótesis» y de ella arranca la deducción política contenida en este pasaje (JAEGER, *Paideia*…, pág. 880, n. 57).

αὐτοὺς ὁμονοοῖμεν καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῖμεν; ἐγὼ μὲν γὰρ ἡγοῦμαι τούτων ὑπαρξάντων τελέως τὴν πόλιν εὐδαιμονήσειν. ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκεν: καὶ γὰρ πενεστέρους πεποίηκε, καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε, καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε, καὶ πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς.

mismos y gozar de buena fama entre los griegos? Yo creo que con estas cosas la ciudad sería completamente feliz[19]. La guerra, en cambio, nos ha privado de todo lo dicho. Porque nos hizo más pobres, nos obligó a soportar muchos peligros, nos enemistó con los griegos y nos ha agotado con toda clase de desastres.

[20] ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα, καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ κινδύνων καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους καθέσταμεν, καθ᾽ ἑκάστην δὲ τὴν ἡμέραν πρὸς εὐπορίαν ἐπιδώσομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ τῶν τριηραρχιῶν καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν, ἀδεῶς δὲ γεωργοῦντες καὶ τὴν θάλατταν πλέοντες καὶ ταῖς ἄλλαις ἐργασίαις ἐπιχειροῦντες, αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν.

20 Por el contrario, si hiciéramos la paz y nos adaptáramos a lo que mandan los tratados comunes[20], habitaríamos la ciudad con enorme seguridad y alejaríamos las guerras, peligros y desorden en que ahora nos enfrentamos entre nosotros. Además aumentaría nuestra abundancia de recursos para cada día, pondríamos fin a los tributos, trierarquías y demás servicios públicos para la guerra, cultivaríamos sin miedo la tierra, navegaríamos por el mar[21] y emprenderíamos las demás actividades que ahora están abandonadas por culpa de la guerra.

[21] ὀψόμεθα δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους λαμβάνουσαν, μεστὴν δὲ γιγνομένην ἐμπόρων καὶ ξένων καὶ μετοίκων, ὧν νῦν ἐρήμη καθέστηκεν. Τὸ δὲ μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βεβιασμένους ἀλλὰ πεπεισμένους, οὐδ᾽ ἐν ταῖς μὲν ἀσφαλείαις διὰ τὴν δύναμιν ἡμᾶς ὑποδεχομένους, ἐν δὲ τοῖς κινδύνοις ἀποστησομένους, ἀλλ᾽ οὕτω διακειμένους ὥσπερ χρὴ τοὺς ὡς ἀληθῶς συμμάχους καὶ φίλους ὄντας.

21 Veríamos que la ciudad recibiría el doble de ingresos que en la actualidad, que estaría llena de comerciantes, extranjeros y metecos, de los que ahora está desierta[22]. Y lo más importante: tendríamos a todos los hombres como aliados, no por la fuerza, sino por convicción, y nos acogerían no por nuestro poderío en momentos de seguridad para desertar en los de peligro, sino que se portarían con nosotros como deben hacerlo auténticos aliados y amigos.

[22] πρὸς δὲ τούτοις, ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πολέμου καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας ῥᾳδίως κομιούμεθα. μὴ γὰρ οἴεσθε μήτε Κερσοβλέπτην ὑπὲρ Χερρονήσου μήτε Φίλιππον ὑπὲρ Ἀμφιπόλεως πολεμήσειν,

22 Además de estas ventajas, adquiriríamos con facilidad mediante embajadas aquéllos que ahora no podemos recobrar por culpa de la guerra y del enorme gasto. No creáis que Cersoblepto lucharía por el Quersoneso ni

[19] El objetivo de la cultura retórica de Isócrates es crear el estado de perfección de la vida humana, que llama, con los filósofos *eudaimonía*; esta idea es siempre la base del pensamiento político de Isócrates. Aquí, en este pasaje, se reconoce la *eudaimonía* como meta de sus aspiraciones políticas. Este concepto encierra los siguientes postulados; 1) seguridad, 2) prosperidad, 3) armonía interior, 4) prestigio ante el exterior (JAEGER, *Paideia*…, pág. 878, n. 37, y 881, n. 59).

[20] Alusión a la paz de Antálcidas.

[21] La libertad de los mares que aquí propugna Isócrates se cumplirá en una de las cláusulas de la liga de Corinto (MATHIEU, *Les idees*…, pág. 212).

[22] Los extranjeros pagaban un impuesto especial (*xenikà téle*) y los metecos el *metoíkion*, 12 dracmas el varón y 6 la mujer.

ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλλοτρίων ἐφιεμένους. νῦν μὲν γὰρ εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν πόλιν ταῖς αὑτῶν δυναστείαις,

Filipo por Anfípolis si vieran que nosotros no deseamos ningún territorio ajeno[23]. Porque ahora temen con razón que nuestra ciudad se haga vecina de sus reinos.

[23] ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας ἐφ᾽ οἷς ἂν ἔχωμεν, ἀλλ᾽ ἀεὶ τοῦ πλέονος ὀρεγομένους, ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον καὶ δόξαν βελτίω λάβωμεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας, ἀλλὰ καὶ τῆς αὑτῶν προσδώσουσι: λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι τὴν δύναμιν τὴν τῆς πόλεως ἀσφαλῶς ἔχειν τὰς ἑαυτῶν βασιλείας.

23 Ven, en efecto, que nosotros no nos conformamos con lo que tenemos, sino que siempre deseamos más. Si cambiáramos nuestro modo de ser y consiguiéramos mejor fama, no sólo se marcharían de nuestro territorio, sino que nos darían parte del suyo. Pues les convendría tratar con cuidado el poder de la ciudad para tener seguros sus propios reinos.

[24] καὶ μὲν δὴ καὶ τῆς Θρᾴκης ἡμῖν ἐξέσται τοσαύτην ἀποτεμέσθαι χώραν, ὥστε μὴ μόνον αὐτοὺς ἄφθονον ἔχειν, ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων καὶ δι᾽ ἀπορίαν πλανωμένοις ἱκανὸν δύνασθαι βίον παρασχεῖν. ὅπου γὰρ Ἀθηνόδωρος καὶ Καλλίστρατος, ὁ μὲν ἰδιώτης ὤν, ὁ δὲ φυγάς, οἰκίσαι πόλεις οἷοί τε γεγόνασιν, ἤ που βουληθέντες ἡμεῖς πολλοὺς ἂν τόπους τοιούτους κατασχεῖν δυνηθεῖμεν. χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον ἢ πολέμου καὶ στρατοπέδων ξενικῶν, ὧν νῦν ἐπιθυμοῦντες ἡμεῖς τυγχάνομεν.

24 Podríamos conseguir en Tracia tanto territorio como para no sólo estar nosotros en la opulencia sino poder proporcionar una vida apropiada a los griegos necesitados y que por su pobreza andan errantes. Porque en un lugar donde Atenodoro[24] y Calístrato[25], el primero un simple particular, el segundo, un desterrado, han sido capaces de fundar ciudades, nosotros, si queremos, podríamos ocupar muchas poblaciones semejantes. Es preciso que quienes están al frente de los griegos consideren que es mucho mejor guiar tales empresas que guerras y ejércitos mercenarios, precisamente lo que ahora nosotros deseamos.

[25] περὶ μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται, καὶ ταῦθ᾽ ἱκανά, καὶ πολλὰ ἂν ἴσως τις προσθείη τούτοις: ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους ὅπως ἄξομεν αὐτήν, καὶ μὴ ποιήσομεν ὅπερ εἰώθαμεν, ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα ταραχάς, μηδ᾽ ἀναβολὴν ἀλλ᾽ ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρόντων.

25 Sobre lo que anuncian los embajadores, es esto suficiente y quizá cualquiera añadiría más cosas a éstas. Creo que nosotros debemos no sólo votar la paz antes de abandonar la asamblea sino también deliberar cómo la mantendremos sin hacer lo que acostumbramos: dejar pasar algún tiempo para volver a los mismos desórdenes, y cómo lograremos no un aplazamiento sino una liberación de los males presentes.

26-60. Los estados, como los individuos, han de tener su propia moral; la política interior y exterior de Atenas ha sido peligrosa.

---

[23] Cersoblepto había ocupado el año 359 casi todo el Quersoneso, del que había sido expulsado por el ateniense Cares el 357. En cuanto a Filipo, se había apoderado de Anfípolis el 357 a. C.

[24] Ciudadano ateniense, capitán de una tropa mercenaria al servicio del rey persa; más tarde pasó al Quersoneso y fundó una colonia no conocida.

[25] Orador ateniense que, acusado de traición, marchó a Tracia. Colaboró en el restablecimiento de la ciudad de Dato.

[26] οὐδὲν δὲ τούτων οἷόν τ᾽ ἐστὶ γενέσθαι πρότερον, πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης, τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας.

26 Nada de esto se puede conseguir antes de persuadiros de que la tranquilidad es más útil y provechosa que el afán de novedades, más la justicia que la injusticia, y más el cuidado de los asuntos particulares que la ambición de los ajenos.

περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν ἐν ὑμῖν ἐτόλμησεν: ἐγὼ δὲ περὶ αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς ὑμᾶς: ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τούτοις ἐνοῦσαν, ἀλλ᾽ οὐκ ἐν οἷς νῦν τυγχάνομεν πράττοντες.

Sobre esto ningún orador se atrevió a hablaros jamás[26]. Yo, en cambio, quiero dedicar a estos temas la mayoría de mis palabras hacia vosotros, porque veo que está en ellos la felicidad y no en lo que ahora hacemos.

[27] ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν καὶ τὰς ὑμετέρας γνώμας μεταστῆσαι βουλόμενον πολλῶν πραγμάτων ἅψασθαι καὶ διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι, καὶ τὰ μὲν ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ᾽ ἐπαινέσαι, περὶ δὲ τῶν συμβουλεῦσαι: μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προαγαγεῖν.

27 Quien intente hablar ante el pueblo de manera distinta a lo habitual, y quiera cambiar vuestra manera de pensar, debe tocar en su discurso muchos asuntos, expresarse con prolijidad, recordar unas cosas, criticar otras, aplaudir algunas y aconsejar sobre otras. Difícilmente con todo esto uno podría induciros a pensar en lo mejor[27].

[28] ἔχει γὰρ οὕτως. ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν ἐπιθυμεῖν τοῦ συμφέροντος καὶ τοῦ πλέον ἔχειν τῶν ἄλλων, ούκ εἰδέναι δὲ τὰς πράξεις τὰς ἐπὶ ταῦτα φερούσας, ἀλλὰ ταῖς δόξαις διαφέρεν ἀλλήλων: οἱ μὲν γὰρ ἔχειν ἐπιεικεῖς καὶ στοχάζεσθαι τοῦ δέοντος δυναμένας, οἱ δ᾽ ὡς οἷόν τε πλεῖστον τοῦ συμφέροντος διαμαρτανούσας.

28 La situación es la siguiente: me parece que todos desean su conveniencia y tener más que otros, pero no saben qué acciones conducen a esto, sino que sus opiniones difieren mucho entre sí. Unos tienen una manera de pensar conveniente y que puede tender a su provecho, pero la opinión de otros les hace apartarse totalmente de su utilidad[28].

[29] ὅπερ καὶ τῇ πόλει συμβέβηκεν.
ἡμεῖς γὰρ οἰόμεθα μέν, ἢν τὴν θάλατταν πλέωμεν πολλαῖς τριήρεσι καὶ βιαζώμεθα τὰς πόλεις συντάξεις διδόναι καὶ δεόντων: πλεῖστον διεψεύσμεθα τῆς ἀληθείας.

29 Esto es precisamente lo que le sucede a la ciudad. Porque nosotros creemos que si navegamos por el mar con muchas trirremes, si obligamos a las ciudades a pagarnos tributos[29] y a enviar aquí consejeros[30], lograremos algo

---

[26] Lugar común en la oratoria.

[27] Para JAEGER, *Paideia…*, pág. 919, en este pasaje queda clara la voluntad de Isócrates de cambiar las ideas y los sentimientos de los atenienses en la cuestión del poder.

[28] KENNEDY, *The Art…*, págs. 183-184 destaca la síntesis moral de los argumentos que Isócrates emplea a partir de este parágrafo. Debe extirparse la tendencia ambiciosa del estado ateniense a dominar sobre las demás ciudades (JAEGER, *Paideia…*, pág. 916).

[29] El tributo (*phóros*) pagado por los aliados de la primera confederación ático-délica, que era muy impopular, fue sustituido por las «contribuciones» (*syntáxeis*) durante la segunda liga marítima.

[30] Los diputados (*sýnedroi*) enviados al consejo común de los aliados; ellos eran en teoría los encargados de aprobar los impuestos pero, de hecho, los estrategos atenienses los elevaban a su arbitrio.

ὧ μὲν γὰρ ἠλπίζομεν, οὐδὲν ἀποβέβηκεν, ἔχθραι δ᾽ ἡμῖν ἐξ αὐτῶν καὶ πόλεμοι καὶ δαπάναι μεγάλαι γεγόνασιν,

provechoso. Pero nos engañamos por completo. Nada de lo que esperábamos ha sucedido, y de eso mismo nos han venido enemistades, guerras y gastos enormes.

[30] εἰκότως: καὶ γὰρ τὸ πρότερον ἐκ μὲν τῆς τοιαύτης πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν, ἐκ δὲ τοῦ δικαίαν τὴν πόλιν παρέχειν καὶ βοηθεῖν τοῖς ἀδικουμένοις καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν παρ᾽ ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλάβομεν: ὧν νῦν ἀλογίστως καὶ λίαν εἰκῇ πολὺν ἤδη χρόνον καταφρονοῦμεν.

30 Cosa lógica. Antes, partiendo de un afán parecido nos pusimos en los peores peligros. Pero cuando ofrecimos la ciudad como garantía de justicia, socorrimos a los agraviados y no deseamos lo ajeno, recibimos la hegemonía de los griegos que nos la dieron de buen grado. Ahora, desde hace ya mucho tiempo, los despreciamos de manera absurda y muy a la ligera.

[31] εἰς τοῦτο γάρ τινες ἀνοίας ἐληλύθασιν, ὥσθ᾽ ὑπειλήφασι τὴν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ᾽ ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην εὐδόκιμον μέν, ἀλυσιτελῆ δὲ καὶ μᾶλλον δυναμένην τοὺς ἄλλους ὠφελεῖν ἢ τοὺς ἔχοντας αὐτήν,

31 Algunos han llegado a tal grado de insensatez como para creer que la injusticia es censurable, pero ventajosa y útil para la vida diaria, mientras que la justicia es estimada, pero perjudicial y capaz de ayudar más a los ajenos que a quienes la poseen.

[32] κακῶς εἰδότες ὡς οὔτε πρὸς χρηματισμὸν οὔτε πρὸς δόξαν οὔτε πρὸς ἃ δεῖ πράττειν οὔθ᾽ ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν ὅσην περ ἀρετὴ καὶ τὰ μέρη ταύτης. τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ἄλλας ὠφελείας, ὧν δεόμενοι τυγχάνομεν: ὥσθ᾽ οἱ τῆς αὑτῶν διανοίας ἀμελοῦντες λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ πράττειν βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες.

32 No saben que para la riqueza, la fama, las buenas acciones y, en una palabra, la felicidad, nada reúne tanto poder como la virtud y sus partes. Pues con los bienes que tenemos en el alma adquirimos también las demás ventajas que necesitamos. Por eso los que descuidan su inteligencia se olvidan de que al mismo tiempo desdeñan pensar y actuar mejor.

[33] θαυμάζω δ᾽ εἴ τις οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἀσκοῦντας καρτερεῖν καὶ μένειν ἐν τούτοις ἐλπίζοντας ἔλαττον ἕξειν τῶν πονηρῶν, ἀλλ᾽ οὐχ ἡγουμένους καὶ παρὰ θεοῖς καὶ παρ᾽ ἀνθρώποις πλέον οἴσεσθαι τῶν ἄλλων. ἐγὼ μὲν γὰρ πέπεισμαι τούτους μόνους ὧν δεῖ πλεονεκτεῖν, τοὺς δ᾽ ἄλλους ὧν οὐ βέλτιόν ἐστιν.

33 Me asombra que alguno crea que quienes se ejercitan en la piedad y en la justicia y son firmes y perseverantes en ellas esperen quedar en inferioridad ante los malvados y no crean que conseguirán de los dioses y de los hombres más que otros[31]. Yo estoy convencido de que sólo ellos son superiores en lo que se debe desear, mientras que los demás lo son en cosas peores.

[34] ὁρῶ γὰρ τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας καὶ τὸ λαβεῖν τι τῶν ἀλλοτρίων μέγιστον ἀγαθὸν

34 Porque veo que quienes prefieren la injusticia y consideran el mayor bien

[31] Es una cínica confesión, repetida en *Nicocles* 2 y *Sobre el cambio de fortunas* 282.

νομίζοντας ὅμοια πάσχοντας τοῖς δελεαζομένοις τῶν ζώων, καὶ κατ᾽ ἀρχὰς μὲν ἀπολαύοντας ὧν ἂν λάβωσιν, ὀλίγῳ δ᾽ ὕστερον ἐν τοῖς μεγίστοις κακοῖς ὄντας, τοὺς δὲ μετ᾽ εὐσεβείας καὶ δικαιοσύνης ζῶντας ἔν τε τοῖς παροῦσι χρόνοις ἀσφαλῶς διάγοντας καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχοντας.

apoderarse de lo ajeno, sufren lo mismo que los animales atraídos por un cebo: disfrutan al principio de lo que cogieron, pero poco después se encuentran en las mayores calamidades. En cambio, quienes viven con piedad y justicia, pasan con seguridad el tiempo presente y tienen las más dulces esperanzas para la eternidad[32].

[35] καὶ ταῦτ᾽ εἰ μὴ κατὰ πάντων οὕτως εἴθισται συμβαίνειν, ἀλλὰ τό γ᾽ ὡς ἐπὶ τὸ πολὺ τοῦτον γίγνεται τὸν τρόπον. χρὴ δὲ τοὺς εὖ φρονοῦντας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν, τὸ πολλάκις ὠφελοῦς, τοῦτο φαίνεσθαι προαιρουμένους. πάντων δ᾽ ἀλογώτατον πεπόνθασιν ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστερον τὴν δικαιοσύνην τῆς ἀδικίας, χεῖρον δ᾽ οἴονται βιώσεσθαι τοὺς ταύτῃ χρωμένους τῶν τὴν πονηρίαν προῃρημένων.

35 Y si esto no suele suceder siempre de esta manera, al menos así ocurre la mayoría de las veces. Es preciso que los inteligentes demuestren que escogen lo que sirve frecuentemente de ayuda, ya que no somos capaces de distinguir lo que siempre puede aprovecharnos. En cambio, son los más insensatos cuantos piensan que la justicia es una hermosa práctica y más grata a los dioses que la injusticia, pero creen que vivirán peor los que la usan que los que prefieren la maldad.

[36] ἠβουλόμην δ᾽ ἄν, ὥσπερ πρόχειρόν ἐστιν ἐπαινέσαι τὴν ἀρετήν, οὕτω ῥᾴδιον εἶναι πεῖσαι τοὺς ἀκούοντας ἀσκεῖν αὐτήν: νῦν δὲ δέδοικα μὴ μάτην τὰ τοιαῦτα λέγω. διεφθάρμεθα γὰρ πολὺν ἤδη χρόνον ὑπ᾽ ἀνθρώπων οὐδὲν ἀλλ᾽ ἢ φενακίζειν δυναμένων, οἳ τοσοῦτον τοῦ πλήθους καταπεφρονήκασιν ὥσθ᾽, ὁπόταν βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες λέγειν τολμῶσιν ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾶν ἡμᾶς αὐτοὺς καταγελωμένους μηδὲ τὴν θάλατταν πλέοντας τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν.

36 Me gustaría que tan fácil como es aplaudir la virtud, igual lo fuera persuadir a los oyentes a practicarla. Pero mi temor ahora es que hablemos inútilmente. Pues hace ya mucho tiempo que estamos corrompidos por hombres que no pueden hacer otra cosa sino engañar. Ellos desprecian tanto al pueblo, que, cuando quieren dirigir la guerra contra alguien, reciben dinero para atreverse a decir que debemos imitar a los antepasados y no permitir que se rían de nosotros ni que naveguen por el mar quienes no quieren pagarnos tributo.

[37] ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων κελεύουσιν ὁμοίους γίγνεσθαι, πότερον τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ τὴν πόλιν διοικήσασιν; εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἀλλ᾽ ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν:

37 Con gusto preguntaría a esos individuos a qué antepasados nos ordenan parecemos; ¿acaso a los que vivieron las guerras pérsicas o a los que gobernaron la ciudad antes de la guerra de Decelia?[33]. Si se refieren a estos últimos, no nos aconsejan otra cosa que volver a correr el riesgo de la esclavitud.

[38] εἰ δὲ τοῖς ἐν Μαραθῶνι τοὺς βαρβάρους νικήσασι καὶ τοῖς πρὸ τούτων γενομένοις, πῶς οὐ

38 Si se trata, en cambio, de los que vencieron a los bárbaros en Maratón y de sus antecesores,

---

[32] Idea repetida en *A Demónico* 39.

[33] Crítica de la hegemonía ateniense deplorando sus actos de violencia; más hábil que Andócides y Esquines, Isócrates apenas comenta la prosperidad financiera de Atenas fundada sobre su imperio (MATHIEU, *Isocrate*…, pág. 22).

πάντων ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε πολιτευομένους ἐπαινοῦντες τἀναντία πράττειν ἐκείνοις πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ᾽ ἐξαμαρτάνειν περὶ ὧν ἀπορῶ τί ποιήσω, πότερα χρήσωμαι ταῖς ἀληθείαις ὥσπερ περὶ τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν πρὸς ὑμᾶς ἀπέχθειαν; δοκεῖ μὲν γάρ μοι βέλτιον εἶναι διαλεχθῆναι περὶ αὐτῶν, ὁρῶ δ᾽ ὑμᾶς χαλεπώτερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας ἢ πρὸς αἰτίους τῶν κακῶν γεγενημένους.

¿cómo no serían estos consejeros los más desvergonzados de todos si, aplaudiendo a los que entonces gobernaban, os inducen a hacer lo contrario de aquéllos y a cometer errores tan graves que no sé qué hacer, si servirme de la verdad como en otros casos o callar por temor a vuestra enemistad? Me parece que lo mejor será hablar de ello, aunque veo que vosotros tratáis peor a quienes critican el mal que a los que lo han producido.

[39] οὐ μὴν ἀλλ᾽ αἰσχυνθείην ἄν, εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυτοῦ δόξης ἢ τῆς κοινῆς σωτηρίας. ἐμὸν μὲν οὖν ἔργον ἐστί, καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως, προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους ἀλλὰ τοὺς ὠφελιμωτάτους: ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο γιγνώσκειν, ὅτι τῶν μὲν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, ταῖς δὲ ψυχαῖς ταῖς ἀγνοούσαις καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν οὐδέν ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν,

39 No me daría vergüenza mostrarme como alguien que piensa más en su propia fama que en la salvación común. Es tarea mía y de otros que se preocupan por la ciudad elegir no los discursos más gratos, sino los más útiles. Por vuestra parte, debéis saber que los médicos han encontrado muchos remedios de todo tipo para las enfermedades del cuerpo, pero que para las almas ignorantes y cargadas de malos deseos no hay otro remedio que el discurso que se atreve a reprender a los equivocados[34].

[40] ἔπειθ᾽ ὅτι καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν πρὶν εἰδέναι σαφῶς εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν ὥστ᾽ ὠφελῆσαι τοὺς ἀκούοντας.

40 Debéis saber también que sería ridículo soportar las cauterizaciones y amputaciones de los médicos para librarnos de dolores mayores, y, en cambio, rechazar los discursos antes de saber con claridad si tienen tanto poder como para ayudar a los oyentes.

[41] τούτου δ᾽ ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. τίς γὰρ ἄλλοθεν ἐπελθὼν καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ᾽ ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν, οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν,

41 Advertí estas cosas porque quiero hablaros del resto sin ocultar nada, sino con completa libertad. Un hombre que venga de fuera, que nunca se haya corrompido con nosotros, sino que se entere de pronto de lo que ocurre, ¿no pensaría que nosotros estamos locos o deliramos? Nosotros, que nos ufanamos con las hazañas de los antepasados y que creemos conveniente ensalzar a la ciudad por las acciones de entonces, no hacemos nada parecido a aquéllos,

[34] Como hace Sócrates en el *Gorgias* platónico, Isócrates se compara aquí con el médico que ha de quemar y cortar para curar. Para JAEGER, *Paideia…*, pág. 922, n. 3, esta comparación no cuadra muy bien al antagonismo de partidos al que Isócrates la aplica.

[42] ἀλλὰ πᾶν τοὐναντίον; οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον πορίζομένους ἐκεῖθεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν: κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν,

42 sino todo lo contrario. Nuestros antepasados emplearon su vida guerreando con los bárbaros en provecho de los griegos, nosotros, en cambio, trasladamos desde Asia a los que allí viven y los conducimos contra los griegos[35]. Ellos merecieron la hegemonía al liberar las ciudades griegas y socorrerlas, pero nosotros, esclavizándolas y haciendo lo contrario que aquéllos, nos enfadamos si no tenemos su mismo honor.

[43] οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας τήν τε πατρίδα τὴν αὑτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν, ἡμεῖς δ᾽ οὐδ᾽ ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεονεξίας κινδυνεύειν ἀξιοῦμεν, ἀλλ᾽ ἄρχειν μὲν ἁπάντων ζητοῦμεν,

43 Tanto nos hemos alejado en obras y pensamientos de los que vivieron en aquella época, que ellos se atrevieron a abandonar su propia patria para salvar a otros, y vencieron a los bárbaros en lucha terrestre y naval[36], mientras que a nosotros ni siquiera por nuestra codicia nos parece bien correr peligros. Por el contrario, buscamos mandar sobre todos,

[44] στρατεύεσθαι δ᾽ οὐκ ἐθέλομεν, καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλ᾽ ἀνθρώπους τοὺς μὲν ἀπόλιδας τοὺς δ᾽ αὐτομόλους τοὺς δ᾽ ἐκ τῶν ἄλλων κακουργιῶν συνερρυηκότας, οἷς ὁπόταν τις διδῷ πλείω μισθόν, μετ᾽ ἐκείνων ἐφ᾽ ἡμᾶς ἀκολουθήσουσιν.

44 pero no queremos ir a una expedición militar[37], y nos falta poco para emprender la guerra contra todos los hombres, pero para ella no nos ejercitamos a nosotros mismos, sino a hombres desterrados, desertores o que proceden de otras maldades, gente que si uno les paga un sueldo mayor, irá con él contra nosotros.

[45] ἀλλ᾽ ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν ὥσθ᾽ ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, εἰ περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας καὶ παρανομίας μελλόντων τῶν ἐγκλημάτων ἐφ᾽ ἡμᾶς ἥξειν οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτόν τι διαπεπραγμένους.

45 A pesar de todo, tanto les apreciamos que, si hicieran daño a alguno de nuestros hijos, no querríamos presentar querella, y cuando caen sobre nosotros las acusaciones por sus saqueos, violencias e infracciones, no sólo no nos indignamos, sino que incluso disfrutamos al oír que han hecho algo de este estilo.

[46] εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥστ᾽ αὐτοὶ μὲν ἐνδεεῖς τῶν καθ᾽ ἡμέραν ἐσμέν, ξενοτροφεῖν δ᾽ ἐπικεχειρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν ἰδίους λυμαινόμεθα καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων ἀνθρώπων κοινοῖς ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν.

46 Hemos llegado a tal grado de locura que, faltándonos el sustento cotidiano, hemos intentado mantener tropas mercenarias y maltratamos e imponemos un tributo especial a

---

[35] El general ateniense Cares empleó mercenarios asiáticos en la guerra de los aliados.
[36] Alusión a Maratón y Salamina.
[37] La misma crítica dirige a los atenienses DEMÓSTENES, en *Filípica* I 7-8 y 43-44.

nuestros aliados para proporcionar un sueldo a enemigos comunes a todos los hombres[38].

[47] τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὑτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν, ἡμεῖς δ᾽ εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις.

47 Somos tan inferiores a nuestros antepasados, no sólo respecto a los ilustres, sino también a los que fueron odiados, que aquéllos, si habían votado hacer la guerra a alguien, creían que tenían que poner en peligro sus propias personas para defender su opinión, aunque la acrópolis estuviera llena de plata y oro. Nosotros, en cambio, a pesar de haber llegado a tanta miseria y de ser tantos, utilizamos, como el gran rey, tropas mercenarias.

[48] καὶ τότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ πολίτας μεθ᾽ ὅπλων ἐξέπεμπον: νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν, ὥσθ᾽ ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ᾽ ὅπλων κινδυνεύουσιν.

48 En aquella época, si equipaban trirremes, embarcaban en ellas como marineros a los extranjeros y a los esclavos, y enviaban con armas a los ciudadanos. Ahora utilizamos hoplitas extranjeros y obligamos a los ciudadanos a remar, de forma que cuando desembarquen en tierra enemiga, los que pretenden mandar a los griegos saldrán de la nave con un cojín de remero, y aquéllos, cuya manera de ser referí hace poco, soportarán el peligro con las armas.

[49] ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα περὶ τῶν ἄλλων θαρρήσειεν, ἀλλ᾽ οὐκ ἂν ἐπ᾽ αὐτοῖς τούτοις μάλιστ᾽ ἀγανακτήσειεν; οἵτινες αὐτόχθονες μὲν εἶναί φαμεν καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ᾽ ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων,

49 Si uno viera que las cosas de la ciudad están bien administradas, podría también enfrentarse al resto, pero ¿no se enojaría especialmente por aquéllas? Nosotros decimos que somos autóctonos[39] y que esta ciudad fue fundada antes que las demás, y cuando debíamos ser un ejemplo para todos de buen gobierno y organización, administramos nuestra ciudad peor y con más desorden que las ciudades fundadas recientemente.

[50] καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾴδιον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ τῆς δυσγενείας: πλείστους δὲ τιθέμενοι νόμους οὕτως ὀλίγον αὐτῶν φροντίζομεν, ἓν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων, ὥστε

50 Además, nos vanagloriamos y enorgullecemos por haber nacido mejor que los demás, pero extendemos esta nobleza de origen a los que la desean más fácilmente que los

[38] Véase la Carta IX 10; Demóstenes llama a estos mercenarios «enemigos comunes de todo territorio» (*koinoí katà pasan chóran echthroí*).

[39] Lugar común ya repetido en *Panegírico* 24-25: también se encuentra en TUC., I 2, PLAT., *Menéx*. 237 D, etc.

θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν:

tribalos[40] y lucanos[41] hacen participar a otros de su bajo nacimiento. Establecemos muchas leyes[42], pero nos ocupamos tan poco de ellas — si oís un sólo caso, conoceréis también los demás— que votamos a mano alzada como estrategos a quienes con toda evidencia han sido convictos de corrupción[43], delito para el que está fijada pena de muerte, y ponemos al frente de los asuntos más importantes al que pudo corromper más ciudadanos.

[51] σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐκ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ποιοῦντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν:

51 Nos preocupamos de la constitución política no menos que de la salvación de toda la ciudad, y aunque sabemos que la democracia crece y se mantiene en la tranquilidad y la seguridad y que ya ha sido destruida por dos veces en la guerra, sin embargo, a los que desean la paz los aborrecemos como si fueran simpatizantes de los oligarcas, mientras que tenemos por buenos y preocupados demócratas a los partidarios de la guerra.

[52] ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γιγνώσκομεν, ἀλλ᾽ ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλιπόντες τοῖς ἐνθάδε ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν: προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι τοιούτοις χρώμεθα συμβούλοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν, καὶ τοὺς αὐτοὺς τούτους κυρίους ἁπάντων τῶν κοινῶν καθίσταμεν, οἷς οὐδεὶς ἂν οὐδὲν τῶν ἰδίων ἐπιτρέψειεν.

52 Siendo muy expertos en palabras y acciones, nuestro comportamiento es tan absurdo que no siempre opinamos lo mismo sobre un mismo asunto en el mismo día. Por el contrario, lo que censuramos antes de subir a la asamblea, después que entramos lo votamos a mano alzada, y sin dejar pasar mucho tiempo, cuando nos vamos volvemos a criticar lo que allí se votó. Pretendiendo ser los más sabios de los griegos, usamos tales consejeros que no hay quien no los desprecie, y hacemos dueños de todos los asuntos públicos a gente a la que nadie confiaría los suyos particulares[44].

[53] ὃ δὲ πάντων σχετλιώτατον: οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι: καὶ τοὺς μὲν μετοίκους τοιούτους εἶναι νομίζομεν, οἵους περ

53 Y lo más funesto de todo: consideramos los más fieles guardianes de la constitución a quienes reconocemos como los peores ciudadanos, pensamos que los metecos son iguales a sus patronos, pero nosotros mismos

[40] Los tóbalos eran una tribu salvaje del interior de Tracia; su grosería era proverbial en Atenas desde el s. V (véase ARISTF., *Aves* 1529 sigs.).
[41] Los lucanos eran un pueblo feroz del sur de Italia.
[42] Cf. *Areopagítico* 40 y 41
[43] Una alusión a Cares; así piensa G. NORLIN, *Isocrates…*, II, pág. 40, n. a.
[44] Cf. *Sobre el cambio de fortunas* 316 sigs.

ἂν τοὺς προστάτας νέμωσιν, αὐτοὶ δ᾽ οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν.

creemos que no tendremos la misma fama que quienes nos mandan.

[54] τοσοῦτον δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τε τῆς πόλεως ἐποιοῦντο καὶ στρατηγοὺς ᾑροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ᾽ ἂν βουλεύσασθαι καὶ καθ᾽ αὑτὸν γενόμενον, ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν:

54 Tanto nos diferenciamos de nuestros antepasados, que ellos hacían jefes de la ciudad y elegían como generales a los mismos[45], por pensar que el que puede aconsejar lo mejor en la tribuna de oradores, ése también deliberará lo mejor por sí mismo. Nosotros hacemos lo contrario.

[55] οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν ὡς νοῦν οὐκ ἔχοντας, οἷς δ᾽ οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους δ᾽ αὐτοκράτορας ἐκπέμπομεν ὡς ἐκεῖ σοφωτέρους ἐσομένους καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ἑλληνικῶν πραγμάτων ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων.

55 A las personas que usamos como consejeros para asuntos de importancia no las consideramos dignas de ser votadas como estrategos, como si no tuvieran inteligencia. En cambio, a quienes nadie consultaría un asunto privado ni público, a ésos los enviamos fuera con plenos poderes[46] como si fueran a ser allí los más inteligentes y los que resolvieran los asuntos griegos con más facilidad que los que aquí se tratan.

[56] λέγω δὲ ταῦτ᾽ οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων. ἐπιλίποι δ᾽ ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας ἐξετάζειν ἐπιχειροίην.

56 Cuando digo esto no me refiero a todos sino a los comprendidos en mis palabras[47]. Me vendría corto lo que queda de día, si intentara examinar todos los errores que hay en esta manera de obrar.

[57] τάχ᾽ οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομένοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειε "πῶς, εἴπερ οὕτω κακῶς βουλευόμεθα, σωζόμεθα καὶ δύναμιν οὐδεμιᾶς πόλεως ἐλάττω κεκτημένοι τυγχάνομεν;" ἐγὼ δὲ πρὸς ταῦτ᾽ ἀποκριναίμην ἂν ὅτι τοὺς ἀντιπάλους ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας.

57 Quizá alguno de los más comprometidos por mi palabra me preguntaría irritado: «Si deliberamos tan mal, ¿cómo es que estamos a salvo y hemos adquirido un poderío superior a cualquier otra ciudad?». Yo respondería a esto que tenemos como adversarios a gente que no piensa mejor que nosotros.

[58] εἰ γὰρ μετὰ τὴν μάχην, ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαιμονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν Πελοπόννησον καὶ τοὺς ἄλλους Ἕλληνας

58 Porque si los tebanos, tras la batalla en la que vencieron a los lacedemonios[48], hubieran liberado el Peloponeso y, tras conceder la

[45] Alusión a Pericles.

[46] MATHIEU, *Isocrate*…, III, pág. 27, n. I, señala que era raro el que un estratego tuviera plenos poderes, al menos durante el s. V; en cambio, en el IV el hecho fue frecuente, quizá porque los jefes de los mercenarios no aceptarían órdenes de la asamblea popular.

[47] Lo mismo en *A Nicocles* 47.

[48] La de Leuctra, ocurrida el año 371 a. C., que marca el final de la hegemonía espartana y el comienzo de la de Tebas.

αὐτονόμους ποιήσαντες ἡσυχίαν εἶχον, ἡμεῖς δὲ τοιαῦτ᾽ ἐξημαρτάνομεν, οὔτ᾽ ἂν οὗτος ἔσχε ταύτην ποιήσασθαι τὴν ἐρώτησιν, ἡμεῖς τ᾽ ἂν ἔγνωμεν ὅσῳ κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυπραγμονεῖν.

autonomía a los demás, se hubieran mantenido tranquilos y nosotros nos equivocásemos como ahora, este individuo no podría haberme hecho esa pregunta y nosotros sabríamos cuánto mejor es reflexionar que meterse en cosas ajenas.

[59] νῦν δ᾽ ἐνταῦθα τὰ πράγματα περιέστηκεν, ὥστε Θηβαῖοι μὲν ἡμᾶς σῴζουσιν, ἡμεῖς δὲ Θηβαίους, καὶ συμμάχους ἐκεῖνοι μὲν ἡμῖν ποιοῦσιν, ἡμεῖς δ᾽ ἐκείνοις. ὥστ᾽ εἰ νοῦν ἔχοιμεν, ἀλλήλοις ἂν εἰς τὰς ἐκκλησίας ἀργύριον παρέχοιμεν: ὁπότεροι γὰρ ἂν πλεονάκις συλλεγῶσιν, οὗτοι τοὺς ἐναντίους ἄμεινον πράττειν ποιοῦσιν.

59 Pero ahora han cambiado tanto las circunstancias que los tebanos nos salvan y nosotros salvamos a los tebanos, que ellos nos proporcionan aliados y nosotros a ellos. Por eso, si fuéramos inteligentes nos procuraríamos unos a otros dinero para las asambleas. Pues los que de uno y otro bando se reúnen más frecuentemente, ésos hacen que las cosas salgan mejor para sus contrarios.

[60] χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους οὐκ ἐν τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ᾽ ἐν τοῖς αὑτῶν πράγμασι καὶ ταῖς αὑτῶν διανοίαις: τὸ μὲν γὰρ διὰ τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον ἡμῖν ἀγαθὸν τυχὸν ἂν παύσαιτο καὶ λάβοι μεταβολήν, τὸ δὲ δι᾽ ἡμᾶς αὐτοὺς γιγνόμενον βεβαιοτέρως ἂν ἔχοι καὶ μᾶλλον παραμείνειεν ἡμῖν.

60 Es preciso que incluso quienes reflexionan poco no pongan sus esperanzas de salvación en los errores de los enemigos, sino en sus propias acciones y planes. Porque el bien que nos ha venido por su ignorancia podría cesar y cambiar, mientras que el producido por nosotros mismos se hará más firme y permanecerá más tiempo con nosotros.

61-116. Crítica de la política imperialista; la causa es la corrompida educación del pueblo y sus dirigentes. El comienzo del imperio marítimo fue también el comienzo de todos los males. Crítica también de la política agresiva de Esparta.

[61] πρὸς μὲν οὖν τοὺς εἰκῇ τὰς ἐπιλήψεις ποιουμένους οὐ χαλεπὸν ἀντειπεῖν: εἰ δὲ δή τίς μοι παραστὰς τῶν ἐπιεικέστερον διακειμένων ἀληθῆ μὲν λέγειν με προσομολογήσειε καὶ προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δ᾽ εἶναι φαίη τοὺς ἐπ᾽ εὐνοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων,

61 No es difícil responder a quienes hacen censuras a la ligera. Pero si uno de los que son razonables se me acercara y reconociera que digo la verdad y que critico con razón lo que ocurre, y dijera que es justo que quienes reprenden con afecto no sólo ataquen lo ya realizado,

[62] ἀλλὰ καὶ συμβουλεύειν τίνων ἀπεχόμενοι καὶ ποίων ὀρεγόμενοι παυσαίμεθ᾽ ἂν ταύτην ἔχοντες τὴν γνώμην καὶ τοιαῦτ᾽ ἐξαμαρτάνοντες, οὗτος ὁ λόγος ἀπορεῖν ἄν με ποιήσειεν ἀποκρίσεως, οὐκ ἀληθοῦς καὶ συμφερούσης, ἀλλ᾽ ἀρεσκούσης ὑμῖν. οὐ μὴν ἀλλ᾽ ἐπειδή περ ἀποκεκαλυμμένως ὥρμημαι λέγειν, οὐκ ἀποκνητέον ἀποφήνασθαι καὶ περὶ τούτων.

62 sino que también aconsejen de qué cosas nos debemos apartar y a cuáles acercarnos para que dejemos de tener esta manera de pensar y de cometer errores semejantes, haría que mi respuesta careciera no de verdad y utilidad, pero sí de vuestro agrado. Ya que me he dispuesto a hablar con total sinceridad, no hay que abstenerse de sacar a luz también estas cosas.

[63] ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐδαιμονήσειν, τὴν εὐσέβειαν καὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ὀλίγῳ πρότερον εἰρήκαμεν: ὡς δ᾽ ἂν τάχιστα πρὸς τὸ τοιοῦτοι γενέσθαι παιδευθεῖμεν, ἀληθὲς μέν ἐστι τὸ ῥηθησόμενον, ἴσως δ᾽ ἂν ἀκούσασιν ὑμῖν δεινὸν εἶναι δόξειε καὶ παρὰ πολὺ τῆς τῶν ἄλλων ἐξηλλαγμένον διανοίας.

63 Hemos dicho hace un poco lo que deben tener los que desean ser felices: piedad, prudencia, justicia y los demás tipos de virtud. Cómo nos educaremos para llegar a ser así con la mayor rapidez, sinceramente lo diré aunque quizá al oírlo os parezca raro y muy diferente de lo que opinan los demás.

[64] ἐγὼ γὰρ ἡγοῦμαι καὶ τὴν πόλιν ἡμᾶς ἄμεινον οἰκήσειν καὶ βελτίους αὐτοὺς ἔσεσθαι καὶ πρὸς ἁπάσας τὰς πράξεις ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἐπιθυμοῦντες. αὕτη γάρ ἐστιν ἡ καὶ νῦν εἰς ταραχὴν ἡμᾶς καθιστᾶσα, καὶ τὴν δημοκρατίαν ἐκείνην καταλύσασα μεθ᾽ ἧς οἱ πρόγονοι ζῶντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων αἰτία τῶν κακῶν ὧν αὐτοί τ᾽ ἔχομεν καὶ τοῖς ἄλλοις παρέχομεν.

64 Yo creo que gobernaremos mejor nuestra ciudad, que nos haremos mejores y progresaremos en todas las acciones, si dejamos de desear el dominio del mar[49]. Pues él nos ha llevado al desorden, ha destruido aquella democracia en la que viviendo nuestros antepasados fueron los griegos más felices, y es la causa de casi todos los males que tenemos y de los que producimos a los demás.

[65] οἶδα μὲν οὖν ὅτι χαλεπόν ἐστι δυναστείας ὑπὸ πάντων ἐρωμένης καὶ περιμαχήτου γεγενημένης κατηγοροῦντα δοκεῖν ἀνεκτόν τι λέγειν: ὅμως δ᾽ ἐπειδή περ ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν ὄντας φιλαπεχθήμονας δέ, καὶ τοῦτον ὑμῶν ἀνασχέσθαι δέομαι,

65 Sé que es difícil decir algo que parezca tolerable cuando se critica un poderío deseado por todos y que ha sido objeto de combate. A pesar de ello, ya que habéis aguantado mis otras palabras, que, aunque verídicas, eran desagradables, os suplico que también aguantéis esto,

[66] καὶ μὴ καταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ᾽ ἐγὼ προειλόμην ἂν διαλεχθῆναι πρὸς ὑμᾶς περὶ πραγμάτων οὕτω παραδόξων, εἰ μή τι λέγειν ἀληθὲς εἶχον περὶ αὐτῶν. νῦν δ᾽ οἶμαι πᾶσι φανερὸν ποιήσειν ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν οὔτε γενέσθαι δυνατῆς οὔτε συμφερούσης ἡμῖν.

66 y que no me acuséis de una locura tan grande como para discutir de asuntos tan ajenos a vuestra manera de pensar sin poder decir algo verídico sobre ellos. Creo que ahora demostraré a todos claramente que deseamos un imperio injusto, imposible de realizarse e inconveniente para nosotros.

[67] ὅτι μὲν οὖν οὐ δικαίας, παρ᾽ ὑμῶν μαθὼν ὑμᾶς ἔχω διδάσκειν. ὅτε γὰρ Λακεδαιμόνιοι ταύτην εἶχον τὴν δύναμιν, ποίους λόγους οὐκ ἀνηλώσαμεν κατηγοροῦντες μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες δ᾽ ὡς δίκαιόν ἐστιν αὐτονόμους εἶναι τοὺς Ἕλληνας;

67 Que no es un imperio justo os lo puedo demostrar por lo que aprendí de vosotros. Cuando los lacedemonios tenían este poderío, ¿qué discursos dejasteis de pronunciar para criticar el imperio de aquéllos y para exponer que era justo que los griegos fueran autónomos?

[49] Postula Isócrates la renuncia al dominio marítimo; compárese con el parágrafo 142 donde se recomienda una hegemonía basada en la sumisión voluntaria de otros estados griegos.

[68] τίνας δὲ τῶν πόλεων τῶν ἐλλογίμων οὐ παρεκαλέσαμεν ἐπὶ τὴν συμμαχίαν τὴν ὑπὲρ τούτων συστᾶσαν; πόσας δὲ πρεσβείας ὡς βασιλέα τὸν μέγαν ἀπεστείλαμεν, διδαξούσας αὐτὸν ὡς οὔτε δίκαιόν ἐστιν οὔτε συμφέρον μίαν πόλιν κυρίαν εἶναι τῶν Ἑλλήνων; οὐ πρότερον δ᾽ ἐπαυσάμεθα πολεμοῦντες καὶ κινδυνεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, πρὶν ἠθέλησαν Λακεδαιμόνιοι ποιήσασθαι τὰς συνθήκας τὰς περὶ τῆς αὐτονομίας.

68 ¿A qué ciudad ilustre no invitamos a la alianza que se organizó para defenderlos?[50]. ¿Cuántas embajadas enviamos al gran rey para explicarle que no era justo ni conveniente que una sola ciudad fuera señora de los griegos? No dejamos de luchar y de correr peligros por tierra y por mar hasta que los lacedemonios quisieron firmar los tratados sobre la autonomía.

[69] ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττόνων ἄρχειν, ἐν ἐκείνοις τε τοῖς χρόνοις τυγχάνομεν ἐγνωκότες, καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς παρ᾽ ἡμῖν καθεστηκυίας: ὡς δ᾽ οὐδ᾽ ἂν δυνηθείημεν τὴν ἀρχὴν ταύτην καταστήσασθαι, ταχέως οἶμαι δηλώσειν. ἣν γὰρ μετὰ μυρίων ταλάντων οὐχ οἷοί τ᾽ ἦμεν διαφυλάξαι, πῶς ἂν ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι δυνηθεῖμεν, ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν οὐχ οἷς ἐλάβομεν ἀλλ᾽ οἷς ἀπωλέσαμεν αὐτήν;

69 En aquella época reconocimos que era injusto que los fuertes mandaran a los débiles y ahora también lo reconocemos en la constitución que tenemos establecida. Que tampoco podríamos conquistar este imperio, creo que os lo aclararé con rapidez. Porque si no fuimos capaces de conservarlo con diez mil talentos[51], ¿cómo podríamos adquirirlo con nuestra actual penuria, y sobre todo si nuestras costumbres no son aquéllas con las que lo conquistamos, sino las mismas que nos hicieron perderlo?[52].

[70] ὡς τοίνυν οὐδὲ δέξασθαι διδομένην τῇ πόλει συμφέρει, δοκεῖτέ μοι τάχιστ᾽ ἂν ἐκεῖθεν καταμαθεῖν. μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν: δέδοικα γὰρ μὴ διὰ τὸ πολλοῖς ἐπιτιμᾶν δόξω τισὶ προῃρῆσθαι τῆς πόλεως κατηγορεῖν.

70 Me parece que por lo que voy a decir a continuación comprenderéis muy pronto que este imperio no le conviene aceptarlo a la ciudad ni aunque se lo regalaran. Prefiero, sin embargo, decir antes algunas pocas cosas, pues tengo miedo de que por censurar a muchos parezca a algunos que me propongo acusar a la ciudad.

[71] ἐγὼ δ᾽ εἰ μὲν πρὸς ἄλλους τινὰς ἐπεχείρουν οὕτω διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην: νῦν δὲ πρὸς ὑμᾶς ποιοῦμαι τοὺς λόγους, οὐ διαβάλλειν ἑτέροις ἐπιθυμῶν, ἀλλ᾽ αὐτοὺς βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ τὴν εἰρήνην, περὶ ἧς ἅπας ὁ λόγος ἐστί, βεβαίως καὶ τὴν πόλιν καὶ τοὺς ἄλλους Ἕλληνας ἀγαγεῖν.

71 Sería verosímil que fuera responsable de esta inculpación si intentase explicar las cosas de esta manera ante otros. Pero ahora os hablo a vosotros, y no deseo calumniaros ante los demás, sino que quiero apartaros de tales conductas y que la paz, tema de todo el discurso, la observen con firmeza la ciudad y los demás griegos.

---

[50] Referencia a la alianza antiespartana de Corinto, formada por Atenas, Tebas, Argos y Corinto.
[51] Es la cifra que da Isócrates en *Sobre el cambio de fortunas* 234 del dinero que Pericles había reunido en la Acrópolis; en el parágrafo 126 de este mismo discurso habla de 8.000 talentos; TUCÍDIDES, II 13, 3, habla de 9.700 talentos.
[52] El mejoramiento de la situación política aparece supeditado, como en el *Areopagítico*, a un cambio radical de la actitud ética, cambio apoyado por la bancarrota de Atenas. El imperio naval se ha perdido y Atenas no se halla en condiciones de recuperarlo (JAEGER, *Paideia*…, pág. 919).

[72] ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ διανοίας ἔχειν ἀλλήλοις ὡς οἷόν τ᾽ ἐναντιωτάτας. ὥστε περὶ τῶν ταὐτὰ λεγόντων οὐκ ἀεὶ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει, τοὺς δ᾽ ἐπ᾽ ὠφελίᾳ νουθετοῦντας ἐπαινεῖν καὶ βελτίστους τῶν πολιτῶν νομίζειν,

72 Es necesario que los que aconsejan y los que acusan utilicen discursos semejantes, pero que sus maneras de pensar sean lo más contrapuestas posible. Por eso no conviene que vosotros tengáis siempre la misma opinión sobre los que hablan de cosas idénticas: por el contrario, debéis odiar como a enemigos de la ciudad a quienes censuran para hacer daño, y, en cambio, a los que reprenden para ayudar, tenéis que aplaudirlos y considerarlos los mejores ciudadanos,

[73] καὶ τούτων αὐτῶν μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι τὰς πονηρὰς τῶν πράξεων καὶ τὰς συμφορὰς τὰς ἀπ᾽ αὐτῶν γιγνομένας: οὗτος γὰρ ἂν τάχιστα ποιήσειεν ὑμᾶς, μισήσαντας ἃ δεῖ, βελτιόνων ἐπιθυμῆσαι πραγμάτων.
ὑπὲρ μὲν οὖν τῆς τῶν λόγων τραχύτητος καὶ τῶν εἰρμένων καὶ τῶν ῥηθήσεσθαι μελλόντων ταῦτ᾽ ἔχω λέγειν πρὸς ὑμᾶς: ὅθεν δ᾽ ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν.

73 sobre todo al que de ellos pueda aclarar mejor la maldad de las acciones y las desgracias que de ellas se derivan. Porque este individuo muy pronto haría que vosotros odiarais lo que lo merece y desearais las acciones mejores.

Esto es lo que tengo que deciros en defensa de la severidad de mis palabras, tanto de las que he dicho como de las que diré. Comenzaré de nuevo desde donde lo dejé.

[74] ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ᾽ ἂν ὑμᾶς καταμαθεῖν ὡς οὐ συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρχήν, εἰ σκέψαισθε τίνα τρόπον ἡ πόλις διέκειτο πρὶν τὴν δύναμιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ κατέσχεν αὐτήν: ἢν γὰρ ταῦτα παρ᾽ ἄλληλα τῇ διανοίᾳ θεωρήσητε, γνώσεσθ᾽ ὅσων κακῶν αἰτία τῇ πόλει γέγονεν.

74 Decía entonces que vosotros os daríais cuenta perfectamente de que no os conviene tomar el dominio del mar, si examináis de qué manera se encontraba la ciudad antes de haber adquirido este poderío, y cómo cuando lo tuvo. Pues, si comparáis una y otra situación en vuestro pensamiento, sabréis de cuántos males fue causa para la ciudad.

[75] ἡ μὲν τοίνυν πολιτεία τοσούτῳ βελτίων ἦν καὶ κρείττων ἡ τότε τῆς ὕστερον καταστάσης, ὅσῳ περ Ἀριστείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἄνδρες ἀμείνους ἦσαν Ὑπερβόλου καὶ Κλεοφῶντος καὶ τῶν νῦν δημηγορούντων: τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον οὐκ ἀργίας οὐδ᾽ ἀπορίας οὐδ᾽ ἐλπίδων κενῶν ὄντα μεστόν,

75 La constitución era mejor y superior a la que se estableció después, igual que Arístides, Temístocles y Milicíades eran hombres mejores que Hipérbolo, Cleofonte y los demagogos actuales[53]. Descubriréis que el pueblo que entonces gobernaba no estaba lleno de pereza, indecisión ni de esperanzas vacías,

[76] ἀλλὰ νικᾶν μὲν δυνάμενον ἐν ταῖς μάχαις ἅπαντας τοὺς εἰς τὴν χώραν εἰσβάλλοντας, ἀριστείων δ᾽ ἀξιούμενον ἐν τοῖς ὑπὲρ τῆς Ἑλλάδος κινδύνοις, οὕτω δὲ πιστευόμενον ὥστε

76 sino que podía vencer en los combates a todos los que invadían el territorio, era considerado digno de premio en los peligros corridos defendiendo Grecia, e inspiraba tal

[53] Los demagogos imperialistas citados por Isócrates son los de finales del s. V a. C. y la fórmula empleada parece de la misma época (MATHIEU, *Isocrate*…, pág. 22).

τὰς πλείστας αὐτῷ τῶν πόλεων ἑκούσας ἐγχειρίσαι σφᾶς αὐτάς.

confianza que la mayoría de las ciudades se entregaban a él de buen grado.

[77] τούτων δ᾽ ὑπαρχόντων, ἀντὶ μὲν τῆς πολιτείας τῆς παρὰ πᾶσιν εὐδοκιμούσης ἐπὶ τοιαύτην ἀκολασίαν ἡ δύναμις ἡμᾶς αὕτη προήγαγεν, ἣν οὐδεὶς ἂν ἀνθρώπων ἐπαινέσειεν: ἀντὶ δὲ τοῦ νικᾶν τοὺς ἐπιστρατεύοντας οὕτω τοὺς πολίτας ἐπαίδευσεν, ὥστε μηδὲ πρὸ τῶν τειχῶν τολμᾶν ἐπεξιέναι τοῖς πολεμίοις:

77 Estando así las cosas, en lugar de la constitución que gozaba de prestigio entre todos, ese dominio del mar nos condujo a tal libertinaje que ningún hombre lo aprobaría. En vez de vencer a los invasores, educó de tal forma a los ciudadanos que ni se atreven a combatir a los enemigos delante de las murallas[54].

[78] ἀντὶ δὲ τῆς εὐνοίας τῆς παρὰ τῶν συμμάχων αὐτοῖς ὑπαρχούσης καὶ τῆς δόξης τῆς παρὰ τῶν ἄλλων Ἑλλήνων εἰς τοσοῦτον μῖσος κατέστησεν, ὥστε παρὰ μικρὸν ἐλθεῖν ἐξανδραποδισθῆναι τὴν πόλιν, εἰ μὴ Λακεδαιμονίων τῶν ἐξ ἀρχῆς πολεμούντων εὐνουστέρων ἐτύχομεν ἢ τῶν πρότερον ἡμῖν συμμάχων ὄντων.

78 En lugar del afecto que les tenían sus aliados y de su fama entre los demás griegos, tanto odio levantó (la hegemonía marítima) que la ciudad hubiera sido esclavizada, de no ser porque los lacedemonios, enemigos nuestros al principio, fueron con nosotros más benévolos que nuestros anteriores aliados.

[79] οἷς οὐκ ἂν δικαίως ἐγκαλοῖμεν, ὅτι χαλεπῶς πρὸς ἡμᾶς διετέθησαν: οὐ γὰρ ὑπάρχοντες ἀλλ᾽ ἀμυνόμενοι καὶ πολλὰ καὶ δεινὰ παθόντες τοιαύτην γνώμην ἔσχον περὶ ἡμᾶς: τίς γὰρ ἂν ὑπέμεινε τὴν ἀσέλγειαν τῶν πατέρων τῶν ἡμετέρων, οἳ συναγαγόντες ἐξ ἁπάσης τῆς Ἑλλάδος τοὺς ἀργοτάτους καὶ τοὺς ἁπασῶν τῶν πονηριῶν μετέχοντας, πληροῦντες τούτων τὰς τριήρεις, ἀπηχθάνοντο τοῖς Ἕλλησι, καὶ τοὺς μὲν βελτίστους τῶν ἐν ταῖς ἄλλαις πόλεσιν ἐξέβαλλον, τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων τἀκείνων διένεμον;

79 Y a éstos no les podríamos echar en cara con justicia que se portaron mal con nosotros. Pues no fue tomando la iniciativa, sino defendiéndose y después de haber sufrido muchas y graves desgracias, cuando adoptaron semejante actitud con nosotros. ¿Quién soportaría la insolencia de nuestros padres que convocaban a los más inútiles de toda Grecia y a los que participaban en todas las maldades, llenaban con ellos las trirremes[55], se hacían odiosos a los griegos, expulsaban a los mejores en las demás ciudades y distribuían sus bienes entre los peores de los griegos?[56].

[80] ἀλλὰ γὰρ εἰ τολμήσαιμι περὶ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις γενομένων ἀκριβῶς διελθεῖν, ὑμᾶς μὲν ἴσως ἂν ποιήσαιμι βέλτιον βουλεύσασθαι περὶ τῶν παρόντων, αὐτὸς δ᾽ ἂν διαβληθείην:

80 Si me atreviera a hablar con detalle de lo ocurrido bajo aquella forma de actuar, quizá lograría que vosotros resolvieseis mejor lo presente pero yo mismo sería acusado.

εἰώθατε γὰρ μισεῖν οὐχ οὕτω τοὺς αἰτίους τῶν ἁμαρτημάτων ὡς τοὺς κατηγοροῦντας αὐτῶν.

Pues acostumbráis a odiar no tanto a quienes son responsables de errores, como a quienes los denuncian.

[54] Todo lo que hay de malo y desenfrenado en el presente se atribuye a la educación corrompida del pueblo y sus dirigentes por obra del poder (JAEGER, *Paideia*…, pág. 920). Parece que aquí Isócrates reprocha a Pericles lo mismo de lo que le habían acusado sus adversarios: Cf. PLUT., *Pericles* 33, 6-8.

[55] Véase TUC., I 121.

[56] Alusión a las confiscaciones de bienes de las familias aristocráticas; quizá aquí Isócrates está pensando en la desaparición de su fortuna familiar (G. NORLIN, *Isócrates*…, II, pág. 55, n. f).

[81] τοιαύτην οὖν ὑμῶν γνώμην ἐχόντων, δέδοικα μὴ πειρώμενος ὑμᾶς εὐεργετεῖν αὐτὸς ἀπολαύσω τι φλαῦρον. οὐ μὴν ἀποστήσομαι παντάπασιν ὧν διενοήθην, ἀλλὰ τὰ μὲν πικρότατα καὶ μάλιστ᾽ ἂν ὑμᾶς λυπήσοντα παραλείψω, μνησθήσομαι δὲ τούτων μόνον ἐξ ὧν γνώσεσθε τὴν ἄνοιαν τῶν τότε πολιτευομένων.

81 Por tener vosotros esa 81manera de pensar, tengo miedo de que al intentar ayudaros yo mismo obtenga alguna desgracia. No renunciaré totalmente a lo que pensé, pero dejaré a un lado lo más amargo y lo que más os molestaría, y me acordaré sólo de aquellas cosas con las que comprenderéis la insensatez de quienes entonces gobernaban.

[82] οὕτω γὰρ ἀκριβῶς εὕρισκον ἐξ ὧν ἄνθρωποι μάλιστ᾽ ἂν μισηθεῖεν, ὥστ᾽ ἐψηφίσαντο τὸ περιγιγνόμενον ἐκ τῶν φόρων ἀργύριον, διελόντες κατὰ τάλαντον, εἰς τὴν ὀρχήστραν τοῖς Διονυσίοις εἰσφέρειν ἐπειδὰν πλῆρες ᾖ τὸ θέατρον: καὶ τοῦτ᾽ ἐποίουν, καὶ παρεισῆγον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων, ἀμφοτέροις ἐπιδεικνύοντες τοῖς μὲν συμμάχοις τὰς τιμὰς τῆς οὐσίας αὐτῶν ὑπὸ μισθωτῶν εἰσφερομένης, τοῖς δ᾽ ἄλλοις Ἕλλησι τὸ πλῆθος τῶν ὀρφανῶν καὶ τὰς συμφορὰς τὰς διὰ τὴν πλεονεξίαν ταύτην γιγνομένας.

82 Aquellos tan bien descubrieron la manera de que los hombres los odiasen en extremo, que votaron que el dinero sobrante de los ingresos públicos se repartiera talento a talento y se llevara a la orquesta en las fiestas Dionisíacas, cuando el teatro estuviera lleno[57]. Y así lo hacían e introducían subrepticiamente a los hijos de los muertos en la guerra, y mostraban a los aliados que la compensación de su fortuna se la llevaban asalariados[58], y a los demás griegos la multitud de huérfanos y las desgracias producidas por esa ambición.

[83] καὶ ταῦτα δρῶντες αὐτοί τε τὴν πόλιν εὐδαιμόνιζον, καὶ πολλοὶ τῶν νοῦν οὐκ ἐχόντων ἐμακάριζον αὐτήν, τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα μελλόντων οὐδεμίαν ποιούμενοι πρόνοιαν, τὸν δὲ πλοῦτον θαυμάζοντες καὶ ζηλοῦντες, ὃς ἀδίκως εἰς τὴν πόλιν εἰσελθὼν καὶ τὸν δικαίως ὑπάρξαντα διὰ ταχέων ἤμελλε προσαπολεῖν.

83 Al hacer esto, ellos consideraban feliz a la ciudad y muchos insensatos la estimaban dichosa y no tenían previsión alguna de lo que ocurriría por culpa de estos hechos, a saber, que al admirar y envidiar la riqueza que entraba en la ciudad injustamente, iba a perder con rapidez al mismo tiempo la que le pertenecía en justicia.

[84] εἰς τοῦτο γὰρ κατέστησαν τῶν μὲν οἰκείων ἀμελείας τῶν δ᾽ ἀλλοτρίων ἐπιθυμίας, ὥστε Λακεδαιμονίων εἰσβεβληκότων εἰς τὴν χώραν καὶ τοῦ τείχους ἤδη τοῦ Δεκελειᾶσιν ἑστηκότος εἰς Σικελίαν τριήρεις ἐπλήρουν, καὶ οὐκ ᾐσχύνοντο τὴν μὲν πατρίδα τεμνομένην καὶ πορθουμένην περιορῶντες, ἐπὶ δὲ τοὺς οὐδὲν πώποτ᾽ εἰς ἡμᾶς ἐξαμαρτόντας στρατιὰν ἐκπέμποντες,

84 Llegaron a descuidar tanto sus asuntos privados por desear los ajenos que, cuando los lacedemonios se habían lanzado sobre el territorio y ya había sido levantada la fortificación de Decelia, equipaban trirremes para Sicilia y no les daba vergüenza ver con indiferencia arrasada y destruida su patria mientras enviaban una expedición contra

[57] ¿A qué se refiere aquí Isócrates? MATHIEU, *Isocrate*…, III, pág. 33, n. 1, se pregunta si la situación financiera se exponía en una asamblea reunida en el teatro pero la presencia de extranjeros es inexplicable. G. NORLIN, Isocrates…, II, pág. 57, n. e, cree que durante las Dionisíacas se admitía la presencia de algunos visitantes no oficiales de otros estados.

[58] Pasaje difícil; hemos traducido *timás* por «compensación», y *misthotón* por «asalariados», entendiendo con este término a los soldados mercenarios.

pueblos que nunca nos habían hecho nada malo[59].

[85] ἀλλ᾽ εἰς τοῦτ᾽ ἀφροσύνης ἦλθον, ὥστε τῶν προαστείων τῶν οἰκείων οὐ κρατοῦντες Ἰταλίας καὶ Σικελίας καὶ Καρχηδόνος ἄρξειν προσεδόκησαν. τοσοῦτον δὲ διήνεγκαν ἀνοίᾳ πάντων ἀνθρώπων, ὥστε τοὺς μὲν ἄλλους αἱ συμφοραὶ συστέλλουσι καὶ ποιοῦσιν ἐμφρονεστέρους, ἐκεῖνοι δ᾽ οὐδ᾽ ὑπὸ τούτων ἐπαιδεύθησαν.

85 Y fue tanta su locura que sin dominar su propia comarca, quisieron gobernar Italia, Sicilia y Cartago[60].
Tanto aventajaron en estupidez a todos los hombres, que si a los demás les acobardan y hacen más sensatos las desgracias, ellos ni con éstas se educaron.

[86] καίτοι πλείοσι καὶ μείζοσι περιέπεσον ἐπὶ τῆς ἀρχῆς ταύτης τῶν ἐν ἅπαντι τῷ χρόνῳ τῇ πόλει γεγενημένων. εἰς Αἴγυπτον μέν γε διακόσιαι πλεύσασαι τριήρεις αὐτοῖς τοῖς πληρώμασι διεφθάρησαν, περὶ δὲ Κύπρον πεντήκοντα καὶ ἑκατόν: ἐν δὲ τῷ Δεκελεικῷ πολέμῳ μυρίους ὁπλίτας αὑτῶν καὶ τῶν συμμάχων ἀπώλεσαν, ἐν Σικελίᾳ δὲ τέτταρας μυριάδας καὶ τριήρεις τετταράκοντα καὶ διακοσίας, τὸ δὲ τελευταῖον ἐν Ἑλλησπόντῳ διακοσίας.

86 Mientras duró este imperio cayeron en los mayores y más graves desastres acaecidos a la ciudad en todo tiempo. Doscientas trirremes que navegaban hacia Egipto[61] fueron destruidas con toda la tripulación y ciento cincuenta en torno a Chipre. En Dato perecieron diez mil hoplitas propios y aliados[62], en Sicilia cuarenta mil hombres y doscientas cuarenta trirremes, y en el Helesponto[63], por último, otras doscientas.

[87] τὰς δὲ κατὰ δέκα καὶ κατὰ πέντε καὶ πλείους τούτων ἀπολλυμένας καὶ τοὺς κατὰ χιλίους καὶ δισχιλίους ἀποθνήσκοντας τίς ἂν ἐξαριθμήσειεν; πλὴν ἓν ἦν τοῦτο τῶν ἐγκυκλίων, ταφὰς ποιεῖν καθ᾽ ἕκαστον τὸν ἐνιαυτόν, εἰς ἃς πολλοὶ καὶ τῶν ἀστυγειτόνων καὶ τῶν ἄλλων Ἑλλήνων ἐφοίτων, οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας ἀλλὰ συνησθησόμενοι ταῖς ἡμετέραις συμφοραῖς.

87 ¿Quién podría llevar la cuenta de las trirremes destruídas de cinco en cinco, de diez en diez o más y de los hombres que murieron de mil en mil o de dos mil en dos mil? Una de sus costumbres era celebrar funerales cada año, a los que acudían muchos de los vecinos y otros griegos, no para llorar conjuntamente a los muertos, sino para regocijamos con nuestra desgracia.

[88] τελευτῶντες δ᾽ ἔλαθον σφᾶς αὐτοὺς τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐμπλήσαντες, τὰς δὲ φρατρίας καὶ τὰ γραμματεῖα τὰ ληξιαρχικὰ τῶν οὐδὲν τῇ πόλει

88 Finalmente, se olvidaron de que llenaban las sepulturas oficiales con ciudadanos y, en cambio, las fratrías y los registros estatales[64] con gente que en nada convenía a la ciudad.

[59] Referencia a la desastrosa expedición a Sicilia, aconsejada por Alcibíades, y llevada a cabo el año 415 a. C. En cambio, la ocupación de Decelia ocurrió el 413 a. C. Isócrates convierte en simultáneos ambos sucesos.
[60] Tal era la idea de Alcibíades (cf. TUC., VI 15, 1).
[61] Estas naves fueron enviadas para ayudar a Inaro de Egipto cuando éste se sublevó contra Persia el año 460 a. C. (cf. TUC., I 104 sigs.).
[62] Cifra sin duda exagerada; según TUC., II 13, el número de combatientes atenienses al empezar la guerra del Peloponeso no pasaba de 29.000.
[63] Referencia a la batalla de Egospótamos (405 a. C.); la cifra de naves dada por JENOF (*Hel*. II 1, 20) y DIOD. (XIII 105) era de 180.
[64] Todos los ciudadanos debían estar inscritos en los registros de las fratrías (*phratorikà grammateia*) y en los registros estatales (*lexiarchicá grammateia*).

προσηκόντων. γνοίη δ᾽ ἄν τις ἐκεῖθεν μάλιστα τὸ πλῆθος τῶν ἀπολλυμένων: τὰ γὰρ γένη τῶν ἀνδρῶν τῶν ὀνομαστοτάτων καὶ τοὺς οἴκους τοὺς μεγίστους, οἳ καὶ τὰς τυραννικὰς στάσεις καὶ τὸν Περσικὸν πόλεμον διέφυγον, εὑρήσομεν ἐπὶ τῆς ἀρχῆς, ἧς ἐπιθυμοῦμεν, ἀναστάτους γεγενημένους.

Cualquiera se daría cuenta por esto del enorme número de muertos. Y descubriremos que las familias de los hombres más renombrados y las casas más importantes que lograron escapar a las revueltas de los tiranos[65] y a la guerra pérsica, quedaron destruidas cuando teníamos ese mismo imperio que deseamos.

[89] ὥστ᾽ εἴ τις σκοπεῖσθαι βούλοιτο περὶ τῶν ἄλλων, ὥσπερ πρὸς δεῖγμα τοῦτ᾽ ἀναφέρων, φανεῖμεν ἂν μικροῦ δεῖν ἀντηλλαγμένοι.
καίτοι χρὴ πόλιν μὲν εὐδαιμονίζειν μὴ τὴν ἐξ ἁπάντων ἀνθρώπων εἰκῇ πολλοὺς πολίτας ἀθροίζουσαν, ἀλλὰ τὴν τὸ γένος τῶν ἐξ ἀρχῆς τὴν πόλιν οἰκισάντων μᾶλλον τῶν ἄλλων διασῴζουσαν, ἄνδρας δὲ ζηλοῦν μὴ τοὺς τὰς τυραννίδας κατέχοντας μηδὲ τοὺς μείζω δυναστείαν τοῦ δικαίου κεκτημένους, ἀλλὰ τοὺς ἀξίους μὲν ὄντας τῆς μεγίστης τιμῆς, στέργοντας δ᾽ ἐπὶ ταῖς ὑπὸ τοῦ πλήθους διδομέναις.

89 Por eso, si alguno quisiera examinar otras cosas tomando esto como ejemplo, se vería que somos casi iguales.
No debe ser feliz una ciudad que congregue a la ligera a todos los hombres, sino la que mantenga mejor que otras la familia de quienes la habitaron al principio. Hay que envidiar no a los hombres que poseen la tiranía, ni a los que adquirieron más poder de lo justo, sino a quienes merecen el mayor honor y se contentan con lo que les dé la mayoría.

[90] ταύτης γὰρ ἕξιν οὔτ᾽ ἀνὴρ οὔτε πόλις λαβεῖν ἂν δύναιτο σπουδαιοτέραν οὐδ᾽ ἀσφαλεστέραν οὐδὲ πλείονος ἀξίαν: ἥνπερ οἱ περὶ τὰ Περσικὰ γενόμενοι σχόντες οὐχ ὁμοίως τοῖς λῃσταῖς ἐβίωσαν, τοτὲ μὲν πλείω τῶν ἱκανῶν ἔχοντες, τοτὲ δ᾽ ἐν σιτοδείαις καὶ πολιορκίαις καὶ τοῖς μεγίστοις κακοῖς καθεστῶτες, ἀλλὰ περὶ μὲν τὴν τροφὴν τὴν καθ᾽ ἡμέραν οὔτ᾽ ἐν ἐνδείαις οὔτ᾽ ἐν ὑπερβολαῖς, ὄντες, ἐπὶ δὲ τῇ τῆς πολιτείας δικαιοσύνῃ καὶ ταῖς ἀρεταῖς ταῖς αὑτῶν φιλοτιμούμενοι καὶ τὸν βίον ἥδιον τῶν ἄλλων διάγοντες.

90 Porque ningún hombre ni ciudad podría conseguir una posesión más preciosa ni más segura ni de mayor valor que ésta. Al tenerla los que vivieron en las guerras pérsicas no pasaron su vida como los piratas, con más de lo necesario unas veces y encontrándose otras en carestías, en asedios y en los mayores males. Antes bien no tuvieron ni falta ni exceso de lo necesario para cada día y por la justicia de su constitución política y sus propias virtudes fueron honrados y pasaron 91una vida más dulce que los demás.

[91] ὧν ἀμελήσαντες οἱ γενόμενοι μετ᾽ ἐκείνους οὐκ ἄρχειν ἀλλὰ τυραννεῖν ἐπεθύμησαν, ἃ δοκεῖ μὲν τὴν αὐτὴν ἔχειν δύναμιν, πλεῖστον δ᾽ ἀλλήλων κεχώρισται: τῶν μὲν γὰρ ἀρχόντων ἔργον ἐστὶ τοὺς ἀρχομένους ταῖς αὑτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεστέρους, τοῖς δὲ τυράννοις ἔθος καθέστηκε τοῖς τῶν ἄλλων πόνοις καὶ κακοῖς αὑτοῖς ἡδονὰς παρασκευάζειν. ἀνάγκη δὲ τοὺς τοιούτοις ἔργοις ἐπιχειροῦντας τυραννικαῖς καὶ ταῖς συμφοραῖς περιπίπτειν, καὶ

91 Al estar privados de esto los que nacieron después de aquéllos, desearon no mandar, sino tiranizar, cosas que parecen tener el mismo significado pero que se diferencian muchísimo entre sí[66]. Porque es tarea de los que mandan, hacer más felices con sus cuidados a los gobernados, mientras que los tiranos tienen la costumbre de procurarse sus propios placeres con los trabajos y males de otros. Es forzoso que quienes emprenden actos así, caigan en las

[65] Pisístrato y sus hijos. Cf. ARISTÓT., *Const. de Aten*. 18.

[66] La oposición entre tirano y el que manda fue un tema típico del pensamiento político del s. IV a. C. Cf. PLAT., *Rep*. 565 D y sigs., y ARISTÓT., *Pol*. 1310 b (MATHIEU, *Isocrate*…, III, pág. 36, n. 1).

τοιαῦτα πάσχειν οἷά περ ἂν καὶ τοὺς ἄλλους δράσωσιν. ἃ καὶ τῇ πόλει συνέπεσεν:

desgracias propias de los tiranos y sufran lo mismo que hicieron a otros.

[92] ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις τῆς αὑτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους: ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, ἀποσπῶντες ἀπὸ πατέρων καὶ μητέρων, πολλοὶ τῶν πολιτῶν ἠναγκάσθησαν τοὺς αὑτῶν ἐν τῇ πολιορκίᾳ χεῖρον παιδεύειν καὶ τρέφειν ἢ προσῆκεν αὐτοῖς: ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας πολλῶν ἐτῶν οὐδ᾽ ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν αὑτῶν.

92 Esto es lo que le ocurrió a la ciudad. En lugar de poner guarniciones en las ciudadelas ajenas, vio que los enemigos fueron señores de la suya[67]. En vez de tomar como rehenes a niños quitándolos a sus padres y madres[68], muchos ciudadanos fueron obligados durante el asedio a educar y criar a sus hijos peor de lo que les convenía. En vez de cultivar las tierras ajenas ni pudieron ver las suyas durante muchos años.

[93] ὥστ᾽ εἴ τις ἡμᾶς ἐρωτήσειεν εἰ δεξαίμεθ᾽ ἂν τοσοῦτον χρόνον ἄξαντες τοιαῦτα παθοῦσαν τὴν πόλιν ἐπιδεῖν, τίς ἂν ὁμολογήσειε, πλὴν εἴ τις παντάπασιν ἀπονενοημένος ἐστὶ καὶ μήθ᾽ ἱερῶν μήτε γονέων μήτε παίδων μήτ᾽ ἄλλου μηδενὸς φροντίζει πλὴν τοῦ χρόνου μόνον τοῦ καθ᾽ ἑαυτόν; ὧν οὐκ ἄξιον τὴν διάνοιαν ζηλοῦν, ἀλλὰ πολὺ μᾶλλον τῶν πολλὴν πρόνοιαν ποιουμένων, καὶ μηδὲν ἧττον ὑπὲρ τῆς κοινῆς δόξης ἢ τῆς ἰδίας φιλοτιμουμένων, καὶ προαιρουμένων μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον ἢ μέγαν πλοῦτον μετ᾽ ἀδικίας.

93 Por eso, si alguien nos preguntase si aceptaríamos gobernar tanto tiempo viendo a la ciudad sufrir cosas semejantes, ¿quién estaría de acuerdo en aceptarlo, a no ser alguien totalmente insensato y que no pensase en los templos, ni en sus padres, ni en sus hijos, ni en otra cosa que no fuera sólo el tiempo de su vida? No habría que envidiar la manera de pensar de esta gente, sino mucho más a quienes obran con mucha previsión, ponen su ambición no menos en la buena fama de todos que en la suya privada y prefieren una vida moderada con justicia a mucha riqueza injusta.

[94] καὶ γὰρ οἱ πρόγονοι τοιούτους αὑτοὺς παρασχόντες τήν τε πόλιν εὐδαιμονεστάτην τοῖς ἐπιγιγνομένοις παρέδοσαν καὶ τῆς αὑτῶν ἀρετῆς ἀθάνατον τὴν μνήμην κατέλιπον. ἐξ ὧν ἀμφότερα ῥᾴδιόν ἐστι καταμαθεῖν, καὶ τὴν χώραν ἡμῶν, ὅτι δύναται τρέφειν ἄνδρας ἀμείνους τῶν ἄλλων, καὶ τὴν καλουμένην μὲν ἀρχὴν οὖσαν δὲ συμφοράν, ὅτι πέφυκε χείρους ἅπαντας ποιεῖν τοὺς χρωμένους αὐτῇ.

94 Porque nuestros antepasados, al mostrarse así, transmitieron a sus descendientes una ciudad más feliz y dejaron un recuerdo inmortal de su virtud. De ambas situaciones es fácil deducir que nuestra tierra puede criar hombres mejores que los demás, mientras que el que llamamos imperio, una desgracia en realidad, tiene por naturaleza la facultad de hacer peores a todos los que se sirven de él.

[95] μέγιστον δὲ τεκμήριον: οὐ γὰρ μόνον ἡμᾶς ἀλλὰ καὶ τὴν Λακεδαιμονίων πόλιν διέφθειρεν, ὥστε τοῖς εἰθισμένοις ἐπαινεῖν τὰς ἐκείνων ἀρετὰς οὐχ οἷόν τ᾽ ἐστὶν εἰπεῖν τοῦτον τὸν λόγον, ὡς ἡμεῖς μὲν διὰ τὸ δημοκρατεῖσθαι κακῶς ἐχρησάμεθα τοῖς πράγμασιν, εἰ δὲ Λακεδαιμόνιοι ταύτην τὴν δύναμιν παρέλαβον, εὐδαίμονας ἂν καὶ τοὺς ἄλλους καὶ σφᾶς αὐτοὺς ἐποίησαν.

95 La mayor prueba es la siguiente: nos destruyó no sólo a nosotros, sino también a la ciudad de los lacedemonios, de manera que quienes acostumbran a elogiar las virtudes de aquéllos no pudieron decir el argumento de que nosotros dispusimos mal los asuntos públicos por tener un gobierno democrático, pero que si los lacedemonios hubieran conseguido ese

[67] Se refiere a la guarnición espartana que ocupó la Acrópolis de Atenas durante el gobierno de los Treinta.

[68] Así ocurrió en Samos el año 440 a. C., según cuenta TUC., I 115.

πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν φύσιν τὴν αὑτῆς: τὴν γὰρ πολιτείαν ἣν ἐν ἑπτακοσίοις ἔτεσιν οὐδεὶς οἶδεν οὔθ᾽ ὑπὸ κινδύνων οὔθ᾽ ὑπὸ συμφορῶν κινηθεῖσαν, ταύτην ἐν ὀλίγῳ σαλεῦσαι καὶ λυθῆναι παρὰ μικρὸν ἐποίησεν.

poderío, habrían hecho felices a los demás y a sí mismos[69]. Mucho más pronto en aquella situación se mostró su auténtica manera de ser. Pues su constitución política, que nadie sabe que en setecientos años hubiera sido alterada ni por situaciones de peligro ni por desgracias, en breve tiempo se tambaleó y faltó poco para que fuera destruida[70].

[96] ἀντὶ γὰρ τῶν καθεστώτων παρ᾽ αὐτοῖς ἐπιτηδευμάτων τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας, ἀνομίας, φιλαργυρίας, τὸ δὲ κοινὸν τῆς πόλεως ὑπεροψίας μὲν τῶν συμμάχων, ἐπιθυμίας δὲ τῶν ἀλλοτρίων, ὀλιγωρίας δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν. τοσοῦτον γὰρ ὑπερεβάλοντο τοὺς ἡμετέρους τοῖς εἰς τοὺς Ἕλληνας ἁμαρτήμασιν, ὅσον πρὸς τοῖς πρότερον ὑπάρχουσι σφαγὰς καὶ στάσεις ἐν ταῖς πόλεσιν ἐποίησαν, ἐξ ὧν ἀειμνήστους τὰς ἔχθρας πρὸς ἀλλήλους ἕξουσιν.

96 Este poder cambió las costumbres establecidas y llenó a los ciudadanos de injusticia, despreocupación, desprecio de las leyes, codicia, y al gobierno de la ciudad de desprecio hacia los enemigos, deseo de lo ajeno e indiferencia con los juramentos y tratados. Tanto aventajaron a las nuestras sus faltas contra los griegos, que añadieron a las de antes, matanzas y discordias en las ciudades, cosas que produjeron entre ellos enemistades inextinguibles.

[97] οὕτω δὲ φιλοπολέμως καὶ φιλοκινδύνως διετέθησαν, τὸν ἄλλον χρόνον πρὸς τὰ τοιαῦτα πεφυλαγμένως μᾶλλον τῶν ἄλλων ἔχοντες, ὥστε οὐδὲ τῶν συμμάχων οὐδὲ τῶν εὐεργετῶν ἀπέσχοντο τῶν σφετέρων αὐτῶν, ἀλλὰ βασιλέως μὲν αὐτοῖς εἰς τὸν πρὸς ἡμᾶς πόλεμον πλέον ἢ πεντακισχίλια τάλαντα παρασχόντος, Χίων δὲ προθυμότατα πάντων τῶν συμμάχων τῷ ναυτικῷ συγκινδυνευσάντων,

97 Un pueblo que en otro tiempo era más cauto que otros en cuestiones bélicas y no se apartaba de sus aliados ni de sus bienhechores, tuvo tanto amor a la guerra y a los riesgos que, cuando el rey les ofreció más de cinco mil talentos para hacernos la guerra, cuando Quíos[71] había sido la más dispuesta de todos sus aliados para compartir los peligros con su escuadra,

[98] Θηβαίων δὲ μεγίστην δύναμιν εἰς τὸ πεζὸν συμβαλομένων, οὐκ ἔφθασαν τὴν ἀρχὴν κατασχόντες, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν, ἐπὶ δὲ τὸν βασιλέα Κλέαρχον καὶ στρατιὰν ἀνέπεμψαν, Χίων δὲ τοὺς μὲν πρώτους τῶν πολιτῶν ἐφυγάδευσαν, τὰς δὲ τριήρεις ἐκ τῶν νεωρίων ἐξελκύσαντες ἁπάσας ᾤχοντο λαβόντες.

98 cuando los tebanos habían añadido un enorme potencial al ejército de tierra, no se apresuraron a ocupar el imperio. Antes bien, en seguida conspiraron contra los tebanos, enviaron a Clearco y un ejército contra el rey[72], desterraron a los principales ciudadanos de Quíos, sacaron las trirremes de los arsenales y se marcharon tras apoderarse de todas.

---

[69] Contra la ambición del poder por parte del estado, tiranía que se impone en todas las formas de este estado, invoca Isócrates el espíritu de la democracia, que se convierte en la renuncia a la tendencia al poder (JAEGER, *Paideia*…, pág. 921).
[70] La hegemonía espartana duró desde el año 404 al 371 a. C.; los setecientos años de constitución espartana nos llevan al año 1191 a. C., fecha admitida por algunos para la invasión doria.
[71] La rebelión de Quíos contra Atenas ocurrió el año 412 a. C.
[72] Referencia a la expedición de mercenarios en apoyo de Ciro el Joven; Cf. JENOF, *Anábasis*.

[99] οὐκ ἐξήρκεσε δ᾽ αὐτοῖς ταῦτ᾽ ἐξαμαρτεῖν, ἀλλὰ περὶ τοὺς αὐτοὺς χρόνους ἐπόρθουν μὲν τὴν ἤπειρον, ὕβριζον δὲ τὰς νήσους, ἀνῄρουν δὲ τὰς ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πολιτείας καὶ τυράννους καθίστασαν, ἐλυμαίνοντο δὲ τὴν Πελοπόννησον καὶ μεστὴν στάσεων καὶ πολέμων ἐποίησαν. ἐπὶ ποίαν γὰρ τῶν πόλεων οὐκ ἐστράτευσαν; ἢ περὶ τίνας αὐτῶν οὐκ ἐξήμαρτον;

99 No les bastó cometer estos errores sino que por la misma época saquearon el continente, maltrataron a las islas, abolieron los sistemas políticos de Italia y Sicilia y establecieron tiranos, maltrataron el Peloponeso y lo llenaron de revueltas y de guerras. ¿Contra qué ciudad no enviaron una expedición militar? ¿Dejaron de cometer errores con alguna de ellas?

[100] οὐκ Ἠλείων μὲν μέρος τι τῆς χώρας ἀφείλοντο, τὴν δὲ γῆν τὴν Κορινθίων ἔτεμον, Μαντινέας δὲ διῴκισαν, Φλιασίους δ᾽ ἐξεπολιόρκησαν, εἰς δὲ τὴν Ἀργείων εἰσέβαλον, οὐδὲν δ᾽ ἐπαύσαντο τοὺς μὲν ἄλλους κακῶς ποιοῦντες, αὑτοῖς δὲ τὴν ἧτταν τὴν ἐν Λεύκτροις παρασκευάζοντες;
ἥν φασί τινες αἰτίαν γεγενῆσθαι τῇ Ζπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες: οὐ γὰρ διὰ ταύτην ὑπὸ τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις καὶ ταύτην ἡττήθησαν καὶ περὶ τῆς αὑτῶν ἐκινδύνευσαν.

100 ¿No quitaron parte de su territorio a los eléatas, talaron la tierra de los corintios, dispersaron a los mantineos, asediaron a los de Fliunte y se lanzaron contra la Argólide?, y, ¿no cesaron de hacer daño a otros, mientras se preparaban para sí mismos la derrota de Leuctra?[73]. Algunos dicen que esta derrota fue la causa de los males de Esparta, pero mienten. Pues sus aliados no les odiaron por ella, sino que fue por sus injurias de otro tiempo por lo que sufrieron esta derrota y corrió peligro su tierra.

[101] χρὴ δὲ τὰς αἰτίας ἐπιφέρειν οὐ τοῖς κακοῖς τοῖς ἐπιγιγνομένοις, ἀλλὰ τοῖς πρώτοις τῶν ἁμαρτημάτων, ἐξ ὧν ἐπὶ τὴν τελευτὴν ταύτην κατηνέχθησαν. ὥστε πολὺ ἄν τις ἀληθέστερα τυγχάνοι λέγων, εἰ φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γεγενῆσθαι τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον: ἐκτῶντο γὰρ δύναμιν οὐδὲν ὁμοίαν τῇ πρότερον ὑπαρχούσῃ.

101 Hay que atribuir las causas no a los daños subsiguientes, sino a los primeros errores que les precipitaron a este final. Por eso, sería mucho más exacto que se dijera que el comienzo de sus desgracias surgió cuando conquistaron el dominio del mar[74]. Adquirieron, en efecto, un poderío que en nada se asemejaba al que habían tenido antes.

[102] διὰ μὲν γὰρ τὴν κατὰ γῆν ἡγεμονίαν καὶ τὴν εὐταξίαν καὶ τὴν καρτερίαν τὴν ἐν αὐτῇ μελετωμένην ῥᾳδίως τῆς κατὰ θάλατταν δυνάμεως ἐπεκράτησαν, διὰ δὲ τὴν ἀκολασίαν τὴν ὑπὸ ταύτης τῆς ἀρχῆς αὐτοῖς ἐγγενομένην ταχέως κἀκείνης τῆς ἡγεμονίας ἀπεστερήθησαν. οὐ γὰρ ἔτι τοὺς νόμους ἐφύλαττον οὓς παρὰ τῶν

102 A causa de su hegemonía terrestre, de su disciplina y de la firmeza con que se ejercitaban en ella, fácilmente obtuvieron el dominio del mar. Pero por el desenfreno que les vino de este dominio, rápidamente se vieron privados también de aquella primera hegemonía[75]. No guardaban las leyes que recibieron de sus

[73] La derrota espartana en Leuctra causó una enorme conmoción en todo el mundo griego; hay que tener en cuenta el enorme prestigio que proporcionó a Esparta su victoria sobre Atenas en la guerra del Peloponeso. Platón, Jenofonte y Aristóteles, al igual que Isócrates, explicaban esta derrota acusando a Esparta de no haber utilizado sabiamente su poder (JAEGER, *Paideia*, pág. 897).
[74] El comienzo de todos los males fue el comienzo de la dominación naval. La idea que aquí expone Isócrates es absolutamente opuesta a la que mantiene en *Panegírico* y *Areopagítico* (JAEGER, *Paideia*…, pág. 918).
[75] «La hegemonía terrestre se ejercita con la disciplina, pero el dominio del mar con la industria naval», dice Isócrates en el *Panatenaico* 115-116.

προγόνων παρέλαβον, οὐδ᾽ ἐν τοῖς ἤθεσιν ἔμενον οἷς πρότερον εἶχον,

antepasados, ni mantenían las costumbres que antes tuvieron,

[103] ἀλλ᾽ ὑπολαβόντες ἐξεῖναι ποιεῖν αὑτοῖς ὅ τι ἂν βουληθῶσιν, εἰς πολλὴν ταραχὴν κατέστησαν.

103 sino que, por creer que podían hacer lo que quisieran, cayeron en el mayor desorden.

οὐ γὰρ ᾔδεσαν τὴν ἐξουσίαν ἧς πάντες εὔχονται τυχεῖν, ὡς δύσχρηστός ἐστιν, οὐδ᾽ ὡς παραφρονεῖν ποιεῖ τοὺς ἀγαπῶντας αὐτήν, οὐδ᾽ ὅτι τὴν φύσιν ὁμοίαν ἔχει ταῖς ἑταίραις ταῖς ἐρᾶν μὲν αὑτῶν ποιούσαις, τοὺς δὲ χρωμένους ἀπολλυούσαις.

No sabían que el poder, que todos desean alcanzar, es muy difícil de tratar, que hace delirar a quienes lo aman, y que su naturaleza es semejante a las heteras que provocan el amor hacia ellas, pero destruyen a quienes las tratan.

[104] καίτοι φανερῶς ἐπιδέδεικται ταύτην ἔχουσα τὴν δύναμιν: τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας, ἀρξαμένους ἀφ᾽ ἡμῶν καὶ Λακεδαιμονίων. αὗται γὰρ αἱ πόλεις καὶ πολιτευόμεναι πρότερον σωφρονέστατα καὶ δόξαν ἔχουσαι καλλίστην, ἐπειδὴ ταύτης ἔτυχον καὶ τὴν ἀρχὴν ἔλαβον, οὐδὲν ἀλλήλων διήνεγκαν, ἀλλ᾽ ὥσπερ προσήκει τοὺς ὑπὸ τῶν αὐτῶν ἐπιθυμιῶν καὶ τῆς αὐτῆς νόσου διεφθαρμένους, καὶ ταῖς πράξεσι ταῖς αὐταῖς ἐπεχείρησαν καὶ τοῖς ἁμαρτήμασι παραπλησίοις ἐχρήσαντο καὶ τὸ τελευταῖον ὁμοίαις ταῖς συμφοραῖς περιέπεσον.

104 Bien claramente ha demostrado que tiene ese poder. Si empezara por nosotros y por los lacedemonios cualquiera vería que los más poderosos caen en las mayores desgracias. Pues estas ciudades que antes tenían los gobiernos más prudentes y gozaban de la más hermosa fama, cuando se toparon con el poder y lo ocuparon, no se diferenciaron entre sí, sino que, como es propio de quienes están afectados por las mismas pasiones y la misma enfermedad, emprendieron las mismas acciones, se abandonaron a errores parecidos y, finalmente, cayeron en desgracias idénticas.

[105] ἡμεῖς τε γὰρ μισηθέντες ὑπὸ τῶν συμμάχων καὶ περὶ ἀνδραποδισμοῦ κινδυνεύσαντες ὑπὸ Λακεδαιμονίων ἐσώθημεν, ἐκεῖνοί τε πάντων αὐτοὺς ἀπολέσαι βουληθέντων ἐφ᾽ ἡμᾶς καταφυγόντες δι᾽ ἡμῶν τῆς σωτηρίας ἔτυχον. καίτοι πῶς χρὴ τὴν ἀρχὴν ταύτην ἐπαινεῖν τὴν τὰς τελευτὰς οὕτω πονηρὰς ἔχουσαν; ἢ πῶς οὐ μισεῖν καὶ φεύγειν τὴν πολλὰ καὶ δεινὰ ποιεῖν ἀμφοτέρας τὰς πόλεις ἐπάρασαν καὶ παθεῖν ἀναγκάσασαν;

105 Nosotros, cuando éramos odiados por los aliados y corríamos el riesgo de la esclavitud, fuimos salvados por los lacedemonios[76], y éstos, cuando todos querían destruirlos, se refugiaron entre nosotros y por nuestra mediación obtuvieron la salvación. ¿Cómo va a haber que aplaudir a un imperio que tiene un final tan doloroso? ¿Cómo no odiar y escapar a un imperio que ha empujado a ambas ciudades a hacer muchas cosas terribles y les ha obligado a sufrirlas?

[106] οὐκ ἄξιον δὲ θαυμάζειν, εἰ τὸν ἄλλον χρόνον ἐλάνθανεν ἅπαντας τοσούτων οὖσα κακῶν αἰτία τοῖς ἔχουσιν αὐτήν, οὐδ᾽ εἰ περιμάχητος ἦν ὑφ᾽ ἡμῶν καὶ Λακεδαιμονίων: εὑρήσετε γὰρ τοὺς πλείστους τῶν ἀνθρώπων

106 No hay que admirarse de que en otro tiempo les pasara desapercibido a todos que este imperio era causa de tantos males para los que lo poseían, ni de que haya sido disputado por nosotros y por los lacedemonios.

[76] Alusión a la propuesta que hicieron los tebanos y corintios al final de la guerra del Peloponeso para que Atenas sufriera lo mismo que ella hizo sufrir; Cf. JENOF, *Hel*. II 2, 19-20.

περὶ τὰς αἱρέσεις τῶν πραγμάτων ἁμαρτάνοντας, καὶ πλείους μὲν ἐπιθυμίας ἔχοντας τῶν κακῶν ἢ τῶν ἀγαθῶν, ἄμεινον δὲ βουλευομένους ὑπὲρ τῶν ἐχθρῶν ἢ σφῶν αὐτῶν.

Descubriréis que la mayoría de los hombres se equivocan en las elecciones de sus actos, que tienen más deseo de lo malo que de lo bueno, y que sus resoluciones son mejores para los enemigos que para ellos mismos.

[107] καὶ ταῦτ᾽ ἴδοι τις ἂν ἐπὶ τῶν μεγίστων: τί γὰρ οὐχ οὕτω γέγονεν; οὐχ ἡμεῖς μὲν τοιαῦτα προῃρούμεθα πράττειν, ἐξ ὧν Λακεδαιμόνιοι δεσπόται τῶν Ἑλλήνων κατέστησαν, ἐκεῖνοι δ᾽ οὕτω κακῶς προὔστησαν τῶν πραγμάτων, ὥσθ᾽ ἡμᾶς οὐ πολλοῖς ἔτεσιν ὕστερον πάλιν ἐπιπολάσαι καὶ κυρίους γενέσθαι τῆς ἐκείνων σωτηρίας;

107 Éstos se podría ver en los asuntos de mayor importancia. ¿Qué cosa no ha ocurrido así? ¿No preferimos nosotros actuar de tal manera que los lacedemonios se hicieron señores de los griegos, y aquéllos dirigieron tan mal los asuntos que no muchos años después volvimos nosotros a dominar y fuimos dueños de su salvación?

[108] οὐχ ἡ μὲν τῶν ἀττικιζόντων πολυπραγμοσύνη λακωνίζειν τὰς πόλεις ἐποίησεν, ἡ δὲ τῶν λακωνιζόντων ὕβρις ἀττικίζειν τὰς αὐτὰς ταύτας ἠνάγκασεν; οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων πονηρίαν αὐτὸς ὁ δῆμος ἐπεθύμησε τῆς ὀλιγαρχίας τῆς ἐπὶ τῶν τετρακοσίων καταστάσης, διὰ δὲ τὴν τῶν τριάκοντα μανίαν ἅπαντες δημοτικώτεροι γεγόναμεν τῶν Θυλὴν καταλαβόντων;

108 El espíritu de intriga de los partida108ríos de Atenas, ¿no hizo que las ciudades fueran partidarias de los laconios?, y la insolencia de los prolaconios ¿no obligó a esas mismas ciudades a ser filoatenienses? ¿No deseó el mismo pueblo la oligarquía establecida por los Cuatrocientos debido a la maldad de los demagogos[77], y luego, a causa de la locura de los Treinta, fuimos todos más demócratas que quienes se habían apoderado de Filé?[78].

[109] ἀλλὰ γὰρ ἐπὶ τῶν ἐλαττόνων καὶ τοῦ βίου τοῦ καθ᾽ ἡμέραν ἐπιδείξειεν ἄν τις τοὺς πολλοὺς χαίροντας μὲν καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ νομίζοντας ἀφ᾽ ὧν ἀμφότερα ταῦτ᾽ ἂν ὠφελοῖτο, καὶ καρτερικοὺς εἶναι δοκοῦντας τοὺς ἐν τούτοις ἐμμένοντας.

109 En las cosas de poca importancia y en la vida diaria se podría señalar que la mayoría disfruta con los alimentos y costumbres que perjudican al cuerpo y al espíritu, que considera penosas y duras las que benefician a ambos y que le parecen valientes quienes se mantienen en las últimas.

[110] οἵ τινες οὖν, ἐν οἷς ἀεὶ ζῶσι καὶ περὶ ὧν αὐτοῖς μᾶλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, τί θαυμαστὸν εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἀγνοοῦσι καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς πώποτε αὐτοῖς λογισμὸς εἰσῆλθεν;

110 Cuando se ve que un pueblo en su vida ordinaria y en lo que más le concierne, elige lo peor ¿por qué admirarse de que se equivoque y luche entre sí por el dominio del mar si sobre este dominio nunca les pasó por la cabeza reflexión alguna?

[77] P. CLOCHÉ señala que Isócrates critica tanto a los oradores del s. V a. C. como a los de su época. El régimen de los Treinta siempre recibe sus invectivas.

[78] Trasibulo, al frente de un grupo de demócratas, ocupó la fortaleza de Filé en las alturas del monte Parnes, y desde allí avanzó contra Atenas, donde tomó el Pireo y el fuerte de Muniquia.

[111] ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας τὰς ἐν ταῖς πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς καὶ τοὺς ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὥστε κατασχεῖν αὐτάς: αἷς τί τῶν δεινῶν ἢ τῶν χαλεπῶν οὐ πρόσεστιν; οὐκ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν τοσούτοις ἐμπεπλεγμένοι κακοῖς εἰσιν,

111 Y en las monarquías establecidas en las ciudades, observad cuántos seguidores tienen y dispuestos a sufrir lo que sea para conservarlas[79]. ¿Qué rigor o dificultad no les pertenece? Tan pronto como toman el poder, ¿no se encuentran envueltos en tantos males,

[112] ὥστ᾽ ἀναγκάζεσθαι πολεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δ᾽ ὑφ᾽ ὧν οὐδὲν κακὸν πεπόνθασιν, ἀπιστεῖν δὲ τοῖς φίλοις καὶ τοῖς ἑταίροις τοῖς αὑτῶν, παρακατατίθεσθαι δὲ τὴν τῶν σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώποις, οὓς οὐδὲ πώποτ᾽ εἶδον, μηδὲν δ᾽ ἧττον φοβεῖσθαι τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας, οὕτω δ᾽ ὑπόπτως πρὸς ἅπαντας ἔχειν ὥστε μηδὲ τοῖς οἰκειοτάτοις θαρρεῖν πλησιάζοντας;

112 que están obligados a hacer la guerra a todos los ciudadanos, a odiar a quienes nunca les perjudicaron, a desconfiar de sus amigos y camaradas, a confiar la custodia de sus personas a hombres mercenarios a quienes nunca vieron, a temer no menos a sus guardianes que a los conspiradores, y a sospechar tanto de todos que ni siquiera sienten confianza cuando les rodean sus íntimos?[80].

[113] εἰκότως: συνίσασι γὰρ τοὺς πρὸ αὑτῶν τετυραννευκότας τοὺς μὲν ὑπὸ τῶν γονέων ἀνῃρημένους, τοὺς δ᾽ ὑπὸ τῶν παίδων, τοὺς δ᾽ ὑπ᾽ ἀδελφῶν, τοὺς δ᾽ ὑπὸ γυναικῶν, ἔτι δὲ τὸ γένος αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον. ἀλλ᾽ ὅμως ὑπὸ τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες σφᾶς αὐτοὺς ὑποβάλλουσιν. ὅπου δ᾽ οἱ πρωτεύοντες καὶ δόξας μεγίστας ἔχοντες τοσούτων κακῶν ἐρῶσι, τί δεῖ θαυμάζειν τοὺς ἄλλους, εἰ τοιούτων ἑτέρων ἐπιθυμοῦσιν;

113 Y es lógico. Porque saben que de los tiranos anteriores a ellos unos fueron muertos por sus padres, otros por sus hijos, otros por sus hermanos, otros por sus mujeres y que incluso su familia ha desaparecido de entre los hombres[81]. A pesar de ello se exponen a sí mismos, voluntariamente, a tan numerosas desgracias. Y cuando los más nobles y de más prestigio aman males tan grandes ¿por qué asombrarse de que los demás deseen otros males semejantes?

[114] οὐκ ἀγνοῶ δ᾽ ὅτι τὸν μὲν περὶ τῶν τυράννων λόγον ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς δυσκόλως ἀκούετε: πεπόνθατε γὰρ πάντων αἴσχιστον καὶ ῥαθυμότατον: ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ᾽ ἐφ᾽ ὑμῶν αὐτῶν ἀγνοεῖτε. καίτοι τῶν φρονίμως διακειμένων οὐκ ἐλάχιστον τοῦτο σημεῖόν ἐστιν, ἢν τὰς αὐτὰς πράξεις ἐπὶ πάντων τῶν ὁμοίων φαίνωνται γνωρίζοντες.

114 No ignoro que aunque aceptéis lo que he dicho sobre los tiranos, oís en cambio con mal humor mis palabras sobre el imperio. Os ocurre lo más vergonzoso e imprudente de todo: lo que veis en otros lo ignoráis cuando os ocurre a vosotros mismos. Por eso los hombres inteligentes tienen como característica muy significativa mostrar que reconocen los mismos hechos en todos los casos parecidos.

[115] ὧν ὑμῖν οὐδὲν πώποτ᾽ ἐμέλησεν, ἀλλὰ τὰς μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι καὶ

115 De esto nunca os preocupasteis en absoluto. Pensáis que las tiranías son duras y

[79] La tendencia hacia el poder es análoga a la tiranía y por tanto incompatible con la democracia (JAEGER, *Paideia*…, página 919). Desde este parágrafo hasta el 115 es clara la crítica a la tiranía.
[80] Cosas parecidas en A *Nicocles* 5 y *Helena* 32.
[81] Todo este pasaje parece describir la vida de los tiranos del s. IV a. C., especialmente de Dionisio el Viejo y de Jasón de Feras.

βλαβερὰς οὐ μόνον τοῖς ἄλλοις ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτάς, τὴν δ᾿ ἀρχὴν τὴν κατὰ θάλατταν μέγιστον τῶν ἀγαθῶν, τὴν οὐδὲν οὔτε τοῖς πάθεσιν οὔτε ταῖς πράξεσι τῶν μοναρχιῶν διαφέρουσαν. καὶ τὰ μὲν Θηβαίων πράγματα πονηρῶς ἔχειν νομίζετε, ὅτι τοὺς περιοίκους ἀδικοῦσιν, αὐτοὶ δ᾿ οὐδὲν βέλτιον τοὺς συμμάχους διοικοῦντες ἢ <*>κεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα τὰ δέοντα πράττειν.

perjudiciales tanto para los que las sufren como para los que las ejercen, y, en cambio, creéis que el imperio del mar es el mayor de los bienes, cuando ni por sus infortunios ni por sus acciones difiere en nada de las monarquías. Consideráis que los asuntos de los tebanos van mal porque injurian a sus vecinos[82], pero vosotros mismos no gobernáis mejor a los aliados que aquéllos a Beocia y creéis que hacéis todo lo necesario.

[116] ἢν οὖν ἐμοὶ πεισθῆτε, παυσάμενοι τοῦ παντάπασιν εἰκῇ βουλεύεσθαι προσέξετε τὸν νοῦν ὑμῖν αὐτοῖς καὶ τῇ πόλει, καὶ φιλοσοφήσετε καὶ σκέψεσθε τί τὸ ποιῆσάν ἐστι τὼ πόλη τούτω, λέγω δὲ τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, ἐκ ταπεινῶν μὲν πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν ἄρξαι τῶν Ἑλλήνων, ἐπεὶ δ᾿ ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀνδραποδισμοῦ κινδυνεῦσαι:

116 Si me hacéis caso, tras cesar de tomar decisiones totalmente al azar, os prestaréis atención a vosotros mismos y a la ciudad, estudiaréis y examinaréis qué hicieron las dos ciudades (me refiero a la nuestra y a la de los lacedemonios), para gobernar a los griegos cuando cada una de ellas partía de una situación modesta y cómo, después que alcanzaron un poderío insuperable, llegaron a verse en riesgo de esclavitud.

117-131. Pequeños pueblos, como los tesalios y megarenses han logrado grandes éxitos; pero la soberbia del poder y los demagogos que sólo piensan en su interés personal, han llevado a Atenas a la ruina.

[117] καὶ διὰ τίνας αἰτίας Θετταλοὶ μέν, μεγίστους πλούτους παραλαβόντες καὶ χώραν ἀρίστην καὶ πλείστην ἔχοντες, εἰς ἀπορίαν καθεστήκασι, Μεγαρεῖς δέ, μικρῶν αὐτοῖς καὶ φαύλων τῶν ἐξ ἀρχῆς ὑπαρξάντων, καὶ γῆν μὲν οὐκ ἔχοντες οὐδὲ λιμένας οὐδ᾿ ἀργυρεῖα, πέτρας δὲ γεωργοῦντες, μεγίστους οἴκους τῶν Ἑλλήνων κέκτηνται:

117 También veréis por qué causa los tesalios, que habían heredado enormes riquezas y poseían el territorio mejor y más grande llegaron a ser pobres, y, en cambio, los megarenses que al principio tenían pocos y sencillos bienes[83], sin tierra ni puertos ni minas de plata, y que cultivaban un terreno pedregoso, han adquirido las mejores casas de los griegos.

[118] κἀκείνων μὲν τὰς ἀκροπόλεις ἄλλοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων αὐτοῖς πλέον τρισχιλίων ἱππέων καὶ πελταστῶν ἀναριθμήτων, οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες τὴν αὑτῶν ὅπως βούλονται διοικοῦσιν:
καὶ πρὸς τούτοις οἱ μὲν σφίσιν αὐτοῖς πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ Πελοποννησίων καὶ Θηβαίων καὶ τῆς ἡμετέρας πόλεως οἰκοῦντες εἰρήνην ἄγοντες διατελοῦσιν.

118 Las ciudadelas de los tesalios las ocupaban siempre otros cuando ellos tenían más de tres mil jinetes e innumerables peltastas; los de Mégara, en cambio, con una pequeña fuerza, gobernaban su país como querían.
Además de esto los tesalios luchan entre sí, mientras que los megarenses, que viven entre los peloponesios, los tebanos [tesalios[*]] y nuestra ciudad, pasan su vida en paz.

[82] Especialmente los ataques a Platea y Tespias.
[83] Era proverbial entre los griegos la insignificancia de Mégara.
[*] *Tesalios*, es lo que aparece en la edición de Gredos.

[119] ἣν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτούς, εὑρήσετε τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν γιγνομένην, τὴν δὲ σωφροσύνην τῶν ἀγαθῶν.
ἥν ὑμεῖς ἐπὶ μὲν τῶν ἰδιωτῶν ἐπαινεῖτε, καὶ νομίζετε τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν καὶ βελτίστους εἶναι τῶν πολιτῶν, τὸ δὲ κοινὸν ἡμῶν οὐκ οἴεσθε δεῖν τοιοῦτο παρασκευάζειν.

119 Si vosotros mismos discurrís sobre esto y otras cosas parecidas, descubriréis que el libertinaje y la soberbia son causas de males, y la prudencia, en cambio, de bienes.
Esa prudencia la aplaudís en los hombres corrientes y pensáis que quienes la emplean viven con muchísima seguridad y son los mejores ciudadanos, pero no creéis que nuestra comunidad deba procurarse tal virtud.

[120] καίτοι προσήκει τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλλον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων: αἱ δὲ πόλεις διὰ τὴν ἀθανασίαν ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.

120 Y conviene que las ciudades mucho más que los simples individuos cultiven las virtudes y rehúyan los vicios[84]. Porque un hombre que sea impío y malvado podría morir antes de pagar el castigo de sus errores. Las ciudades, en cambio, por su inmortalidad sufren la venganza que viene de los hombres y de los dioses.

[121] ὧν ἐνθυμουμένους χρὴ μὴ προσέχειν τὸν νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιουμένοις, μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ τὴν πόλιν λυμαινομένοις: ὡς καὶ πρότερον, ἐπειδὴ παρέλαβον οἱ τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστείαν, εἰς τοσαύτην ἄνοιαν προήγαγον τὴν πόλιν, ὥστε παθεῖν αὐτὴν οἷά περ ὀλίγῳ πρότερον ὑμῖν διηγησάμην.

121 Al reflexionar sobre esto, es preciso que prestéis atención no a los que en el presente os agradan sin tener cuidado alguno del futuro, ni a los que suelen hablar de su amor al pueblo pero hacen daño a toda la ciudad. De esta forma ya antes, cuando tales individuos dominaron la tribuna, llevaron a la ciudad a tanta insensatez, que sufrió lo que os conté hace un poco.

[122] ἃ καὶ πάντων μάλιστ᾽ ἄν τις θαυμάσειεν, ὅτι προχειρίζεσθε δημαγωγοὺς οὐ τοὺς τὴν αὐτὴν γνώμην ἔχοντας τοῖς μεγάλην τὴν πόλιν ποιήσασιν, ἀλλὰ τοὺς ὅμοια καὶ λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτήν, καὶ ταῦτ᾽ εἰδότες οὐ μόνον ἐν τῷ ποιῆσαι τὴν πόλιν εὐδαίμονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας,

122 Por eso, uno se sorprendería muchísimo de que elijáis como conductores del pueblo no a quienes tienen la misma opinión que los que engrandecieron la ciudad, sino a los que dicen y hacen cosas semejantes a sus destructores, y eso que sabéis que los buenos se diferencian de los malvados no sólo en que hacen feliz a la ciudad.

[123] ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων ἐν πολλοῖς ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τούτων ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς τὰς ἐπὶ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν τριάκοντα γενομένας οὐ διὰ τοὺς συκοφάντας κατελθούσας, ἀλλὰ διὰ τοὺς μισοῦντας τοὺς τοιούτους καὶ μεγίστην ἐπ᾽ ἀρετῇ δόξαν ἔχοντας.

123 La diferencia está también en que, con los primeros la democracia no se alteró ni se transformó durante muchos años y bajo los segundos en poco tiempo fue destruida dos veces[85]. Los destierros decretados por los tiranos y por los Treinta no acabaron gracias a los sicofantas, sino por medio de los que odiaban a éstos y gozaban de la mejor fama por su virtud.

---

[84] Nuevamente insiste Isócrates en las razones éticas que deben presidir los actos de los estados; véase nota 9.

[85] En los años 411 (gobierno de los Cuatrocientos) y 404 a. C. (derrota de Atenas en la guerra del Peloponeso).

[124] ἀλλ᾽ ὅμως τηλικούτων ἡμῖν ὑπομνημάτων καταλελειμμένων ὡς ἐφ᾽ ἑκατέρων αὐτῶν ἡ πόλις ἔπραττεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ᾽ ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχάς, ἃς οὗτοι πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν πατρῴων ἐκπεπτωκότας, τούτους δ᾽ ἐκ πενήτων πλουσίους γεγενημένους, οὐκ ἀγανακτοῦμεν οὐδὲ φθονοῦμεν ταῖς εὐπραγίαις αὐτῶν,

124 Al mismo tiempo que se nos olvidan tales recuerdos y cómo actuó la ciudad bajo el gobierno de cada uno de ellos, tanto nos agradan las malicias de los oradores que, a pesar de ver que gracias a la guerra y revueltas por ellos producidas, han sido privados muchos ciudadanos de sus herencias paternas[86], y éstos, en cambio, han pasado de pobres a ricos, no nos indignamos ni envidiamos sus éxitos.

[125] ἀλλ᾽ ὑπομένομεν τὴν μὲν πόλιν διαβολὰς ἔχουσαν ὡς λυμαίνεται καὶ δασμολογεῖ τοὺς Ἕλληνας, τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνοντας, καὶ τὸν μὲν δῆμον, ὅν φασιν οὗτοι δεῖν τῶν ἄλλων ἄρχειν, χεῖρον πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δουλευόντων, οἷς δ᾽ οὐδὲν ὑπῆρχεν ἀγαθόν, τούτους δὲ διὰ τὴν ἄνοιαν τὴν ἡμετέραν ἐκ ταπεινῶν εὐδαίμονας γεγενημένους.

125 Por el contrario, soportamos que se calumnie a la ciudad de injuriar e imponer tributos a los griegos, mientras que esta gente recibe el provecho, y de que el pueblo, que según dicen ellos debe mandar a otros, esté en peor situación que los esclavos de la oligarquía. Entretanto, ellos, que no tienen bien alguno, han llegado a ser los más prósperos desde una situación modesta gracias a nuestra estupidez.

[126] καίτοι Περικλῆς ὁ πρὸ τῶν τοιούτων δημαγωγὸς καταστάς, παραλαβὼν τὴν πόλιν χεῖρον μὲν φρονοῦσαν ἢ πρὶν κατασχεῖν τὴν ἀρχήν, ἔτι δ᾽ ἀνεκτῶς πολιτευομένην, οὐκ ἐπὶ τὸν ἴδιον χρηματισμὸν ὥρμησεν, ἀλλὰ τὸν μὲν οἶκον ἐλάττω τὸν αὑτοῦ κατέλιπεν ἢ παρὰ τοῦ πατρὸς παρέλαβεν, εἰς δὲ τὴν ἀκρόπολιν ἀνήγαγεν ὀκτακισχίλια τάλαντα χωρὶς τῶν ἱερῶν.

126 Pericles, que fue jefe popular antes que éstos, recibió una ciudad cuya manera de pensar era peor que antes de tener el imperio, pero con una política aún soportable[87], y no acrecentó su fortuna particular, sino que dejó una hacienda inferior a la que heredó de su padre, pero llevó a la acrópolis ocho mil talentos, además de los tesoros de los templos.

[127] οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν, ὥστε λέγειν μὲν τολμῶσιν ὡς διὰ τὴν τῶν κοινῶν ἐπιμέλειαν οὐ δύνανται τοῖς αὑτῶν ἰδίοις προσέχειν τὸν νοῦν, φαίνεται δὲ μὲν ἀμελούμενα τοσαύτην εἰληφότα τὴν ἐπίδοσιν, ὅσην οὐδ᾽ ἂν εὔξασθαι τοῖς θεοῖς πρότερον ἠξίωσαν, τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαί φασιν, οὕτω διακείμενον ὥστε μηδένα τῶν πολιτῶν ἡδέως ζῆν μηδὲ ῥᾳθύμως, ἀλλ᾽ ὀδυρμῶν μεστὴν εἶναι τὴν πόλιν.

127 En cambio éstos tanto se diferencian de aquél que se atreven a decir que debido a su preocupación por los asuntos públicos no pueden atender los suyos particulares, cuando se ve que esos asuntos abandonados han alcanzado tal prosperidad como nunca se atrevieron a pedir a los dioses. Entretanto, la mayoría de nosotros, de la que dicen que se preocupan está tan mal que ningún ciudadano vive con gusto o facilidad y la ciudad está llena de lamentos.

[128] οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐνδείας ἀναγκάζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς

128 Unos se ven obligados a contar y llorar consigo mismos su pobreza y necesidad, otros,

[86] Puede ser una referencia a la pérdida del patrimonio del propio Isócrates.

[87] No se trata de un elogio entusiasta de Pericles, pero sí de su probidad y desinterés. Un juicio parecido sobre Pericles en ARISTÓT., *Const. de Aten.* 28, 7

αὐτούς, οἱ δὲ τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν λειτουργιῶν καὶ τὰ κακὰ τὰ περὶ τὰς συμμορίας καὶ τὰς ἀντιδόσεις: ἃ τοιαύτας ἐμποιεῖ λύπας, ὥστ᾽ ἄλγιον ζῆν τοὺς τὰς οὐσίας κεκτημένους ἢ τοὺς συνεχῶς πενομένους.

el gran número de mandatos y de impuestos extraordinarios y los males que se producen por las simmorías[88] y los procesos de cambios de fortuna. Esto produce tales desgracias que vivir es más penoso para quienes han adquirido haciendas que para los que siempre han sido pobres.

[129] θαυμάζω δ᾽ εἰ μὴ δύνασθε συνιδεῖν ὅτι γένος οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητόρων καὶ δημαγωγῶν: πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς καὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μάλιστα βούλονται σπανίζειν ὑμᾶς, ὁρῶντες τοὺς μὲν ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ᾽ αὐτῶν διοικεῖν τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων,

129 Me sorprende que no podáis comprender que no hay raza más hostil a la mayoría que los malos oradores y demagogos. Además de otros males, ellos desean principalmente que carezcáis del sustento cotidiano, al ver que quienes pueden gobernar sus cosas privadamente son partidarios de la ciudad y de los mejores oradores

[130] τοὺς δ᾽ ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἐντεῦθεν λημμάτων ὑφ᾽ αὑτοῖς διὰ τὴν ἔνδειαν ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκοφαντίαις ταῖς δι᾽ αὑτῶν γιγνομέναις.

130 mientras que quienes viven de los tribunales, de las asambleas y de los ingresos que allí se producen, se ven obligados por su necesidad a estar a su servicio y les agradecen mucho las denuncias, las acusaciones públicas y las demás calumnias que se originan gracias a ellos.

[131] ἐν οὖν ταῖς ἀπορίαις, ἐν αἷς αὐτοὶ δυναστεύουσιν, ἐν ταύταις ἥδιστ᾽ ἂν ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. τεκμήριον δὲ μέγιστον: οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ οὗ τρόπου τοῖς δεομένοις βίον ἐκποριοῦσιν, ἀλλ᾽ ὅπως τοὺς ἔχειν τι δοκοῦντας τοῖς ἀπόροις ἐξισώσουσιν.

131 Verían con gusto que todos los ciudadanos se encontraran en la pobreza, gracias a la cual gobiernan. Y la mayor prueba es la siguiente: ellos no buscan de qué manera procurarán medios de vida a los necesitados, sino cómo igualarían con los pobres a quienes parece que poseen algo[89].

132-145. Propuestas de reformas; posible hegemonía de Atenas como honor concedido por los demás estados, no impuesta. Invitación a otros oradores para que ayuden al autor en su tarea.

[132] τίς οὖν ἀπαλλαγὴ γένοιτ᾽ ἂν τῶν κακῶν τῶν παρόντων; διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ᾽ ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτεν: μᾶλλον δ᾽ ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατεπείγοντα πάλιν ἐπανελθεῖν αὐτὰ πειραθείην.

132 ¿Cómo podríamos huir de nuestros males presentes? He discurrido mucho sobre estos asuntos no por orden, sino según su oportunidad. Sería para nosotros más fácil de recordar si intentara tratarlos de nuevo recapitulando los más urgentes.

---

[88] La sinmoría (*symmoría*) era la agrupación de los sesenta ciudadanos más ricos de Atenas, que tomaban a su cargo ciertas liturgias o impuestos extraordinarios, sobre todo la trierarquía y el pago de un impuesto destinado a los ciudadanos más pobres (*eisphorá*). Según JENOF, *Hel.* I 7, 32, había veinte sinmorías, dos por cada tribu.

[89] Esta acusación va dirigida a la distribución instituida por el estado ateniense a propuesta de los demócratas Pericles, Cleón, Cleofonte, etc., de indemnizaciones judiciales y políticas, de las que vivían los pobres según la propia expresión de Isócrates (P. CLOCHÉ, *Isocrate*…, pág. 97).

[133] ἔστι δ᾽ ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἢν συμβούλους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθεῖμεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν εἶναι νομίζοντες τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν, γνόντες ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων ἐστίν, ἐν ᾗ δ᾽ ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν:

133 Hay un sistema con el que enderezaríamos los asuntos de la ciudad y los haríamos mejores: en primer lugar, si tomamos como consejeros de los negocios públicos a los mismos que querríamos que lo fueran de nuestros asuntos particulares, si dejásemos de pensar que los sicofantas son amigos del pueblo y los partidarios de la oligarquía los mejores de los hombres. Porque sabemos que nadie por naturaleza[90] es de un bando u otro, sino que cada uno quiere establecer el sistema político en el que está bien considerado.

Ἢν οὖν ἀσκῆτε καὶ προσδέχησθε τοὺς χρηστοὺς ἀντὶ τῶν πονηρῶν, ὥσπερ τὸ πάλαιον, βέλτιον ἕξετε χρῆσθαι καὶ τοῖς δημαγωγοῖς καὶ τοῖς πολιτευομένοις.

[Pero si tenéis trato y acogéis a los hombres honrados en vez de a los malvados, como antiguamente, podréis serviros mejor de los demagogos y de los políticos][91].

[134] δεύτερον δ᾽ ἢν ἐθελήσωμεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν, μηδὲ δεσποτικῶς ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν, ἐκεῖνο καταμαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν πόλεων κρείττους ἐσμέν, ἁπασῶν δ" ἥττους: ἣν ἐπιχειρῇτε τὰς συμμαχίας κτᾶσθαι μὴ πολέμοις μηδὲ πολιορκίαις, ἀλλ" εὐεργεσίαις: προσήκει γὰρ τὰς μὲν φιλίας ἐκ τούτων γίγνεσθαι, τὰς δ" ἔχθρας ἐξ ὧν νῦν τυγχάνομεν πράττοντες.

134 En segundo lugar, si quisiéramos considerar a los aliados como amigos, sin darles la autonomía de palabra, pero entregándolos de hecho a los estrategos para que hagan con ellos lo que quieran, si les gobernáramos no despóticamente sino en plan de aliados, porque estamos informados de que somos más fuertes que una sola ciudad, pero más débiles que todas. [Teníais que intentar adquirir alianzas no con guerras ni asedios, sino con buenas acciones; pues es lógico que con estas últimas surjan amistades, y odios, en cambio, por lo que hacemos ahora][92].

[135] ἁπασῶν δ᾽ ἥττους: τρίτον ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε, μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν, τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν: τοῖς γὰρ οὕτω διακειμένοις ἑκόντες καὶ τὰς δυναστείας καὶ τὰς ἡγεμονίας διδόασιν.

135 En tercer lugar, si considerarais que nada es más valioso, además de la piedad hacia los dioses, que gozar de buena fama entre los griegos. Porque, a quienes así se comportan, les dan voluntariamente los poderes y las hegemonías[93].

[136] ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πράττειν,

136 Por tanto, si os atenéis a mis palabras y además de esto os mostráis belicosos en vuestros cuidados y preparativos, pero pacíficos por no hacer nada en contra de la

[90] Isócrates contradice aquí lo que él mismo defendía en *Contra Loquites*.

[91] El pasaje entre corchetes aparece en la cita que Isócrates hace de este discurso en *Sobre el cambio de fortunas*.

[92] Véase nota anterior.

[93] ¿Confía realmente Isócrates en que así se obtienen los poderes y hegemonías?

οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν, ἀλλὰ καὶ τοὺς Ἕλληνας ἅπαντας.

justicia, no sólo haréis feliz a esta ciudad, sino a todos los demás griegos.

[137] οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ᾽ ὀκνήσουσι καὶ πολλὴν ἡσυχίαν ἄξουσιν, ὅταν ἴδωσιν ἐφεδρεύουσαν τὴν δύναμιν τὴν ἡμετέραν καὶ παρεσκευασμένην τοῖς ἀδικουμένοις βοηθεῖν. οὐ μὴν ἀλλ᾽ ὁπότερον ἂν ποιήσωσι, τό γ᾽ ἡμέτερον καλῶς ἕξει καὶ συμφερόντως.

137 Ya que ninguna otra ciudad se atreverá a hacerles daño, sino que vacilarán y se mantendrán muy tranquilos cuando vean que nuestra fuerza está vigilante y dispuesta a socorrer a los injuriados. Además, hagan lo que hagan, nuestra situación será buena y útil.

[138] ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν: ἤν τ᾽ ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ᾽ ἡμᾶς ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες καταφεύξονται, πολλὰς ἱκετείας καὶ δεήσεις ποιούμενοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν ἀλλὰ καὶ σφᾶς αὐτούς.

138 Si las ciudades más sobresalientes tomaran la decisión de apartarse de las injusticias, nosotros seremos la causa de este bien, y si, por el contrario, intentan hacer daño, todos los que tengan miedo y lo pasen mal se refugiarán entre nosotros, haciéndonos muchas súplicas y ruegos y nos confiarán no sólo la hegemonía sino sus propias personas.

[139] ὥστ᾽ οὐκ ἀπορήσομεν μεθ᾽ ὧν κωλύσομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν. ποία γὰρ πόλις ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει μετασχεῖν τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς αὐτούς, ἀμφότερα, καὶ δικαιοτάτους ὄντας καὶ μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους σῴζειν καὶ βουλομένους καὶ δυναμένους, αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους;

139 Porque no careceremos de gente para impedir que esas ciudades hagan daño, sino que tendremos muchos con voluntad y ánimo de luchar a nuestro lado. ¿Qué ciudad o qué individuo no desearía participar de nuestra amistad y alianza cuando vea que somos los más justos y los más fuertes, que queremos y podemos salvar a los demás mientras que nosotros no necesitamos ayuda de nadie?

[140] πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι, τοιαύτης εὐνοίας ἡμῖν παρὰ τῶν ἄλλων ὑπαρξάσης; πόσον δὲ πλοῦτον εἰς τὴν πόλιν εἰσρυήσεσθαι, δι᾽ ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σωζομένης; τίνας δ᾽ οὐκ ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους;

140 ¿Qué incremento hay que pensar que alcanzarán las cosas de la ciudad cuando los demás nos tengan un afecto tan grande? ¿Cuánta riqueza correrá hacia la ciudad cuando toda Grecia esté a salvo gracias a nosotros? ¿Quiénes no elogiarán a los que han sido autores de tantos y tales bienes?

[141] ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν, πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας ἀλλὰ μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους ἐπ᾽ ἀρετῇ

141 Debido a mi edad no puedo abarcar en el discurso todo lo que tengo en mi pensamiento, salvo que sería hermoso, entre las injusticias y locuras ajenas, que fuéramos los primeros que por nuestra sensatez defendiéramos la libertad de los griegos, fuéramos llamados sus salvadores y no sus destructores y que, famosos

γενομένους τὴν δόξαν τὴν τῶν προγόνων ἀναλαβεῖν.

[142] κεφάλαιον δὲ τούτων ἐκεῖν᾽ ἔχω λέγειν, εἰς ὃ πάντα τὰ προειρημένα συντείνει καὶ πρὸς ὃ χρὴ βλέποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολὰς ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τῇ πόλει τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀναλογισαμένους τὰς συμφορὰς τὰς ἐξ αὐτῶν γεγενημένας, ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὰς ἐν Λακεδαίμονι βασιλείας.

[143] ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις, τοσούτῳ δὲ μακαριστότεροι τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν, ὑπὲρ ἐκείνων δ᾽ οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνήσκειν ἀτιμότεροι γίγνονται τῶν τὰς τάξεις λειπόντων καὶ τὰς ἀσπίδας ἀποβαλλόντων.

[144] ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡγεμονίας. ἔνεστι δὲ τοῖς πράγμασιν ἡμῶν τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τιμῆς ταύτης, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολάβωσι τὴν δύναμιν τὴν ἡμετέραν μὴ δουλείας ἀλλὰ σωτηρίας αἰτίαν αὑτοῖς ἔσεσθαι.

[145] πολλῶν δὲ καὶ καλῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου καὶ τὸ πλῆθος τῶν ἐτῶν τῶν ἐμῶν: τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἢ ἐγὼ παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας τῶν πόλεων καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέχειν προτρέψουσιν ἐπ᾽ ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ

por nuestra virtud, recobráramos la fama de los antepasados.

142 En resumen, puedo decir a qué tiende todo lo mencionado y con qué perspectiva tenéis que examinar las actuaciones de la ciudad. Si queremos destruir las calumnias que sufrimos en el presente, es preciso que abandonemos las guerras inútiles, que adquiramos para la ciudad una hegemonía para siempre, que odiemos todos los gobiernos tiránicos y despóticos[94], tras reflexionar en las desgracias producidas por ellos, y que emulemos e imitemos la monarquía que existe en Lacedemonia.

143 Porque a aquellos reyes no se les permite ser más injustos que los ciudadanos corrientes, pero son mucho más felices que quienes ocupan por la fuerza las tiranías, ya que los que matan a los tiranos obtienen las mayores recompensas de sus conciudadanos, y, en cambio, los que no se atreven a morir en combate por defender a estos reyes quedan más deshonrados que los que abandonan su puesto o arrojan su escudo.

144 Hay, pues, que aspirar a una hegemonía de estas características. Por nuestra situación podemos obtener de los griegos este honor que aquellos reyes reciben de sus ciudadanos, si los griegos entienden que nuestro poderío será causa de su salvación, no de su esclavitud.

145 Muchas y bellas palabras podrían decirse sobre este tema, pero dos cosas me aconsejan terminar: la extensión de mi discurso y mi edad avanzada. A los más jóvenes y a quienes cuentan con la plenitud de sus fuerzas yo les aconsejo y exhorto a que hablen y escriban discursos con los que inclinarán hacia la virtud y la justicia a las ciudades más importantes, acostumbradas a causar daños a las demás, para que suceda que cuando Grecia esté en buena

[94] Para JAEGER, *Paideia…*, pág. 919, se distingue aquí entre dominación y hegemonía; la hegemonía de Atenas deberá serle dada por los demás estados, cosa que Isócrates no considera totalmente imposible. Compara esta hegemonía con la de los reyes espartanos, que gobiernan con honor y no por la fuerza.

τῶν φιλοσόφων πράγματα πολλῷ βελτίω γίγνεσθαι.

situación también los asuntos de los filósofos resulten mucho mejor.

